Pet. 224/1
X 814

ΚΑΝΟΝΕΣ

# ΠΑΡΑΚΛΗΤΙΚΟΙ

Εἰς τὸν ἅγιον Μεγαλομάρτυρα καὶ ἰαματικὸν

# ΠΑΝΤΕΛΕΗΜΟΝΑ.

*ΕΝ ΟΙΣ*

Καὶ δύο εἰς αὐτὸν ἐγκωμιαστικοὶ λόγοι.

---

Ἐγκρίσει μὲν τῆς Κεντρικῆς Ἐκκλησιαστικῆς Ἐπιτροπῆς,
Κελεύσει δὲ τοῦ Σ. Μητροπολίτου Νικομηδείας
Κ. Κ. ΔΙΟΝΥΣΙΟΥ.

*ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ.*
*Ἐκ τοῦ Πατριαρχικοῦ Τυπογραφείου.*

1865.




*ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ ΕΝ ΚΥΡΙΩ ΧΑΙΡΕΙΝ.*

Τῶν εἰς τὴν ἱερὰν μνήμην τοῦ ἁγίου ἐνδόξου, μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος δύο παρακλητικῶν Κανόνων τύποις ἐκδιδομένων οὐκ ἀπὸ σκοποῦ ἡγούμεθα βραχέα τινὰ πρῶτον εἰπεῖν περὶ τοῦ ἐν Νικομηδείᾳ ἱεροῦ Μοναστηρίου καὶ τοῦ ἐν αὐτῷ χαριτοβρύτου τάφου τοῦ Ἁγίου, περὶ τῶν Κανόνων αὐτῶν, καὶ περὶ τῶν ἐπισυνημμένων δύο ἐγκωμιαστικῶν λόγων εἰς τὸν ἅγιον Παντελεήμονα.

Πρὸς δυσμὰς οὐ μακρὰν τῆς πόλεως Νικομηδείας ἵδρυτο ἐκ παλαιτάτων χρόνων Μονή τις ἐπ' ὀνόματι τοῦ Ἁγίου σεμνυνομένη, ἔνθα καὶ ὁ σεπτὸς αὐτοῦ τάφος, ἐστερημένος μὲν τοῦ ἱεροῦ αὐτοῦ λειψάνου, ἀλλ' οὐχὶ καὶ παντοίων χαρίτων καὶ ἰάσεων τοῖς μετ' εὐλαβείας καὶ πίστεως προσιοῦσι. Τὴν Μονὴν τοίνυν ταύτην μετὰ καὶ τοῦ ἐν αὐτῇ θείου Ναοῦ τῷ χρόνῳ σαθρωθεῖσαν καὶ ἐρειπωθεῖσαν ὁ φιλοκαλίᾳ καὶ πρὸς τὰ θεῖα ἐνθέρμῳ ζήλῳ κεκοσμημένος σεβάσμιος Ἱεράρχης Νικομηδείας Κύριος Διονύσιος οὐκ ἠνέσχετο ὁρῶν ἐν τοιαύτῃ διακεῖσθαι καταστάσει· ἀλλὰ φιλοτίμῳ δαπάνῃ καὶ συνεισφορᾷ ἑαυτοῦ τε καὶ πάσης τῆς τῶν Νικομηδέων ὀρθοδόξου Κοινότητος ἐκ βάθρων ἀνῳκοδόμησε· τὸ δὲ ὑπὸ τὸν ναὸν εἰς βάθος πέντε ἢ ἓξ ὀργυιῶν ἄφθονον ἀναβλύζον ἁγίασμα μετὰ πολλῶν ἀγώνων καὶ δαπάνης περιστείλας, σιδηραῖς τε κιγκλίσι τὸν τόπον περιορίσας, φιλοκάλως λίαν μαρμάροις λευκοῖς κατεκόσμησε, καὶ παρεκκλήσιον κομψὸν κατεσκεύασε, περιλαμβάνον οὐ μόνον τὸ ἁγίασμα αὐτό, ἀλλὰ καὶ τὸν ἱερὸν τοῦ Ἁγίου τάφον. Εἰς δὲ τὸ εὐσεβὲς τοῦτο ἔργον οὐ μικρὸν συνετέλεσαν καὶ πολλοὶ ἐκ τῶν πέριξ χωρίων χρημάτων τε συνδρομῇ καὶ πολλοῖς ἄλλοις ἀναθήμασιν· ἀλλὰ καὶ οὕτω μὴ ἐξαρκούσης τῆς δαπάνης, ὁ αὐτὸς ἀκάματος Ἱεράρχης οὐκ ὤκνησε καὶ τὴν παρὰ τῶν ἐν τῇ Πρωτευούσῃ καὶ ἀλλαχοῦ πλουσίων ὁμογενῶν γεννναίαν συνδρομὴν καὶ βοήθειαν ἐπικαλέσασθαι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑ...

Περαιωθείσης τοίνυν τῆς οἰκοδομῆς κατ' εὐχὴν τῷ 1862 Σωτηρίῳ ἔτει (α), ἐπειδὴ πολλαχόθεν μετὰ πολλῆς τῆς εὐλαβείας προσέρχονται οἱ χριστιανοί, οὐ μόνον ἐν τῇ μνήμῃ τοῦ Ἁγίου, ὁπότε καὶ πανήγυρις συγκροτεῖται μεγαλοπρεπὴς ἐν τῷ ἱερῷ τούτῳ Μοναστηρίῳ, ἀλλὰ καὶ ἀκαταπαύστως, τὴν ψυχικὴν καὶ σωματικὴν αὐτῶν ἴασιν καρπούμενοι· ἔδει πάντως καὶ Κανόνα τινὰ ψάλλεσθαι παρακλητικὸν κατὰ τὴν πνευματικὴν ἔφεσιν τῶν μετ' εὐλαβείας προσερχομένων. Καὶ μέχρι μέν τινος ἐψάλλοντο κατ' ἀνάγκην οἱ γνωστοὶ δύο παρακλητικοὶ πρὸς τὴν Θεοτόκον Κανόνες· ἀλλὰ τὸ ἀκατάλληλον τούτων οὔτε τοὺς προσερχομένους χριστιανούς, οὔτ' αὐτὸν τὸν σεβάσμιον Ἱεράρχην ἐλάνθανε. Μαθὼν τοίνυν, ὅτι ἐν τῷ κατὰ τὸ ἁγιώνυμον Ὄρος ἱερῷ Μοναστηρίῳ, τῷ ῥωσσικῷ, εὑρίσκονται δύο τοιοῦτοι Κανόνες εἰς τὸν ἅγιον Παντελεήμονα, παρῳδημένοι ἐκ τῶν εἰς τὴν ὑπεραγίαν Θεοτόκον (α), μεταπεμψάμενος αὐτούς, τέως μὲν εἶχεν ἐν χρήσει ἐν τῷ ἱερῷ Μοναστηρίῳ ἀντὶ τῶν εἰς τὴν Θεοτόκον, ἐσχάτως δὲ τὴν διὰ τοῦ τύπου δημοσίευσιν αὐτῶν διανοούμενος, ὑπέβαλεν εἰς τὴν ἐπιθεώρησιν τῆς ἐν Κωνσταντινουπόλει κεντρικῆς Ἐκκλησιαστικῆς Ἐπιτροπῆς· ἡ δέ, προσοχῇ συντόνῳ αὐτοὺς διελθοῦσα, τὴν μὲν λέξιν καὶ τὴν φράσιν οὐχὶ καταλλήλως εὗρε συντεταγμένους, εὐλαβουμένη δὲ χεῖρα ἐπιθεῖναι πρὸς διόρθωσιν, ἀνέθετο τὴν σύνταξιν ἑτέρων ὁμοίων παρακλητικῶν Κανόνων τῷ αἰδεσιμωτάτῳ ἐν ἱερεῦσι Κ. Γεωργίῳ Ῥυσίῳ, ἀνδρὶ παιδείᾳ Ἐκκλησιαστικῇ καὶ σεμνότητι βίου κεκοσμημένῳ. Οὗτος δὲ δύο τοιούτους Κανόνας εἰς τὸν Ἅγιον συνταξάμενος, τῇ κεντρικῇ αὖθις Ἐκκλησιαστικῇ Ἐπιτροπῇ φέρων ὑπέβαλεν· οὓς καὶ διορθωσαμένη τὸ ἐπ' αὐτῇ, ἐπεκυρώσατο τῇ Ἐκκλησιαστικῇ ἐγκρίσει πρὸς ἔκδοσιν.

Καὶ ταῦτα μὲν περὶ τῶν ἀνὰ χεῖρας Κανόνων· ἐπεὶ δ' ἐν τοῖς χειρογράφοις Κώδιξι, τοῖς ἐν τῷ ἱερῷ Κοινοβίῳ τοῦ Ῥωσσικοῦ, εὕρηνται καὶ δύο ἐγκωμιαστικοὶ λόγοι τοῦ ἁγίου Παντελεήμονος, ὧν ὁ μὲν « ὑπὸ τοῦ σοφωτάτου ῥήτορος Νικήτα τοῦ Παφλαγόνος » εἰς τὴν ἑλλάδα φωνὴν συνυφασμένος, (β) ὁ δὲ ὑπ' ἀγνώστου μὲν χειρός, εὐσεβοῦς δὲ λίαν, ὡς ἔοικεν, ἐπὶ τὸ ἁπλούστερον καὶ τοῖς πολλοῖς μᾶλλον προσιτόν· ἔγνωμεν καὶ τούτους συνεκδοῦναι ἀντὶ ἄλλης βιογραφικῆς τοῦ Ἁγίου πραγματείας, ὡς ἐξυμνοῦντας ἐπαξίως τὸν βίον, τὰ κατορθώματα καὶ τὰς τοῦ Ἁγίου ἀρετάς.

Ταῦτα ἐν χερσὶν ἔχων, ὦ εὐσεβὲς ἀναγνῶστα, τοῖς μὲν κανόσι χρῶ εἰς αἶνον καὶ δοξολογίαν τοῦ Ἁγίου, τὴν ταχεῖαν αὐτοῦ ἀντίληψιν καὶ σωτηρίαν ἐπικαλούμενος, παρ' αὐτῷ τῷ τάφῳ τοῦ Ἁγίου ἑστάναι δοκῶν·

---

(α) Χάριν τῶν φιλομούσων ἀναγνωστῶν παρατίθεμεν ἐνταῦθα τὸ ἐπὶ τῆς δυτικῆς πύλης τοῦ ἱεροῦ Ναοῦ κεχαραγμένον ἐπίγραμμα, διαιωνίζον τὴν μνήμην τῶν μετὰ θείου ζήλου συνδραμόντων χριστιανῶν.

« Ὁ ναὸς οὗτος, πρέσβιστον τῶν πάλαι μαρτυρίων,
Ψυχῆς καὶ σώματος κοινὸν ἠνέῳκτ' ἰατρεῖον·
Πηγὴν γὰρ ἔχει βλύζουσαν ἰάσεις ἀναργύρως
Τὸν χοῦν τὸν αἱματόφυρτον τοῦ ζῶντος Ἰατῆρος.
Τοῦτον εἰς κάλλος καινουργὲς ἐν παιδαρσίοις θόλοις
Ἡ πολυμάρτυς ἤγειρε καὶ φιλομάρτυς πόλις,
Μιᾷ βουλῇ, πολλῇ χειρί, καὶ συμπροθυμουμένῃ
Τῷ φιλοπόλιδι αὐτῆς καὶ θερμουργῷ Ποιμένι.
Ἀλλ', ὦ ναοῦχε, πάνσεπτε, σοφὲ Παντελεῆμον,
Προσδέχου τὴν εὐλάβειαν, καὶ φρούρει τὸν σὸν δῆμον.

Ἐν ἔτει Σωτηρίῳ ΑΩΞΒ'. Ἱεραρχοῦντος Διονυσίου τοῦ ἐξ Ἄνδρου. »

Ἕτερον δ' ἐπίγραμμα ποιηθὲν διὰ τὸν τάφον τοῦ Μεγαλομάρτυρος ὑποσυνάπτομεν τὸ ἑξῆς.

« Τῷδ' ἐνὶ τιμήεντι τάφῳ ποτὲ φαίδιμος Ἥρως
Αἵματι φοινιχθείς, ἀμπαύετο Παντελεήμων.
Νῦν δ' αὖ γυῖα μὲν οὐκέτ' ἀκηράσια ἔνδοθι μίμνει·
Ἀλλὰ καὶ ὥς, χαρίτων οὐ δεύεται οἶκος ὁ 'κείνου. »



(α) Τῶν δύο τούτων Κανόνων, τοῦ μὲν ἀγνοεῖται ὁ εὐσεβὴς μελοποιός, ὁ δὲ ἐποιήθη παρά τινος διδασκάλου, Βενεδίκτου ὀνομαζομένου, ὡς ἐκ τῆς ἐν αὐτῷ ἐπιγραφῆς καταφαίνεται.

(β) Ἐπειδὴ τοῦ λόγου τούτου εὑρέθη ἀντίγραφον καὶ ἐν τοῖς Κώδιξι τῆς κατὰ Χάλκην ἱερᾶς Μονῆς τῆς Ἁγίας Τριάδος, παραβληθέντος τοῦ ἐξ ἁγίου Ὄρους πρὸς αὐτό, αἱ μὲν πρόδηλοι ἐν τῷ ἑτέρῳ παραδρομαὶ ἐπιδιωρθώθησαν, αἱ δὲ διαφοραὶ φαίνονται ἐν ὑποσημειώμασιν ἐν τῷ οἰκείῳ τόπῳ.

τοὺς δὲ ἐγκωμιαστικοὺς αὐτοῦ λόγους ἀναγινώσκων, καὶ ὡς παράδειγμα ἀρετῆς αὐτὸν τὸν Ἅγιον προστησάμενος, ἀγωνίζου τὸν καλὸν ἀγῶνα, ὅπως κομίσῃ τὸν τῆς δικαιοσύνης στέφανον παρὰ τοῦ μισθαποδότου Θεοῦ.

*Ἔρρωσο.*

Ἐν Νικομηδείᾳ τῇ 10 Ἰουλίου 1865.

---

Σημείωσις. Ἓν τῶν ἐν Νικομηδείᾳ θαυματουργῶν ἁγιασμάτων ὑπάρχει καὶ τὸ τῆς ἁγίας Βασιλίσσης, εὑρισκόμενον πρὸς Βοῤῥᾶν τοῦ ἱεροῦ Μοναστηρίου τοῦ ἁγίου Παντελεήμονος τρία περίπου στάδια μακρὰν τῆς πόλεως.

Ἤθλησε δὲ ἡ ἁγία Βασίλισσα ἐπὶ Μαξιμίνου τοῦ Αὐτοκράτορος, ἡγεμονεύοντος ἐν Νικομηδείᾳ Ἀλεξάνδρου, ὅστις τὸ ἐν ταῖς βασάνοις γενναῖον καὶ ἀκράδαντον τῆς Ἁγίας ὁρῶν, καὶ τὴν ἀλήθειαν τῆς χριστιανικῆς πίστεως κατανοήσας, ὡμολόγησε τὸν Χριστὸν Θεὸν ἀληθινὸν, καὶ ἐβαπτίσθη ὑπὸ τοῦ τότε Ἐπισκόπου Νικομηδείας Ἀντωνίου. Ἡ δὲ Ἁγία ἀπαλλαγεῖσα οὕτω τῶν μαρτυρικῶν βασάνων, καὶ ἐξελθοῦσα τῆς πόλεως Νικομηδείας, ἔστη ἐπί τινος πέτρας ὑψηλῆς, ἔνθα προσευξαμένης, ἡ μὲν πέτρα ὕδωρ καθαρὸν καὶ ἰαματικὸν ἀνέβλυσεν, ἡ δὲ Ἁγία πιοῦσα ἐκ τοῦ ὕδατος τούτου, καὶ προσευξαμένη αὖθις πρὸς Κύριον, παρέδωκε τὸ πνεῦμα. Τοῦτο μαθὼν ὁ Ἐπίσκοπος Ἀντώνιος, ἐκήδευσεν αὐτὴν, καὶ ἐνεταφίασε πλησίον τῆς πέτρας, ἔνθα καὶ τὸ ἁγίασμα καὶ ὁ τάφος αὐτῆς μέχρι σήμερον σώζονται· (ὅρα μοι καὶ τὸν Συναξαριστὴν τῆς γ'. Σεπτεμβρίου, ὁπότε τελεῖται καὶ ἡ μνήμη τῆς Μάρτυρος).

Κατὰ δὲ τὴν εἰς ἡμᾶς διασωθεῖσαν παράδοσιν τοιῷ δε τινὶ τρόπῳ ἀνεκαλύφθη τὸ ἁγίασμα. Ποιμένι τινὶ ἐμφανισθεῖσα κατ' ὄναρ ἡ Ἁγία, καὶ δείξασα τὸν τόπον τοῦ ἁγιάσματος, παρήγγειλεν αὐτὸν ὅπως, καταβὰς εἰς τὴν πόλιν, παρακινήσῃ τοὺς χριστιανοὺς εἰς τὴν τούτου διόρθωσιν· ὁ δὲ ἐγερθεὶς ἐκ τοῦ φόβου, καὶ πορευθεὶς εἰς τὸν τόπον ἐκεῖνον, εἶδεν αὐτὸν ὑπὸ φλογὸς κατελλαμπόμενον, καὶ τὴν Ἁγίαν παρακινοῦσαν αὐτὸν ἵνα ἐκτελέσῃ τὰ προστεταγμένα. Τότε οὖν κατέρχεται εἰς τὴν πόλιν περίφοβος, καὶ διηγεῖται τοῖς χριστιανοῖς τὸ θαῦμα, καὶ ὅσα παρὰ τῆς Ἁγίας ἤκουσεν· ὁ δὲ ἐπίτροπος τοῦ τότε ἐπισκόπου Νικομηδείας Ἀθανασίου, Χ. Μάρκος ὀνομαζόμενος, συνδρομῇ τῶν εὐσεβῶν πολιτῶν καλλωπίσας τὸν τόπον τοῦ ἁγιάσματος, κατεσκεύασε τὸν ὑπὲρ αὐτὸ θόλον, φυτεύσας ἐκεῖ καὶ τὴν νῦν ἔτι σωζομένην πλάτανον εἰς διηνεκὲς μαρτύριον τοῦ τε γεγονότος θαύματος καὶ τοῦ τόπου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΑΝΤΕΛΕΗΜΟΝΑ.

Παρῳδηθεὶς ἐξ ἄλλων ὑπὸ Γ. τοῦ Ῥυσίου.

Εὐλογήσαντος τοῦ Ἱερέως, λέγομεν τὸ, Κύριε εἰσάκουσον.

Εἶτα τὸ Θεὸς Κύριος, καὶ εὐθὺς τὰ Τροπάρια. Ἦχος δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν.

Τῷ Ἀθλοφόρῳ οἱ πιστοὶ ὁμοφρόνως, δεῦτε προσπέσωμεν ὁμοῦ ἐκβοῶντες, οἱ ἁμαρτήμασι βαρούμενοι καὶ θλίψεσι, σπεῦσον συμπαθέστατε, Ἀθλητὰ τοῦ Κυρίου, σαῖς πρὸς τὸν Οἰκτίρμονα, ἱκεσίαις θεόφρον, παντὸς κινδύνου, νόσων χαλεπῶν, Παντελεῆμον, ἀπάλλαξον ἅπαντας.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Καὶ εὐθὺς ὁ Ν. Εἶτα ὁ Κανών. Ἦχος πλ. δ'.

Ὠδὴ ά. Ὁ Εἱρμός. Ἁρματηλάτην Φαραώ.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς πρὸς Χριστόν σου ἱκεσίαις Ἅγιε, Παντελεῆμον σοφέ, ῥῦσαι ἡμᾶς τάχος, τῶν δεινῶν καὶ θλίψεων, καὶ πά-

σης περιστάσεως, καὶ νοσήματος, μάκαρ· σὲ γὰρ προστάτην κεκτήμεθα, πρὸς Θεὸν Ἀνάργυρε ἔνδοξε.

**Ὄ**λβιος πέλεις, παῤῥησίαν Ἅγιε, πρὸς τὸν Θεὸν ἐσχηκώς, τὰς αἰτήσεις ὅθεν δίδου τοῖς ἱκέταις σου· πίστει καὶ γὰρ προστρέχουσι τῷ ναῷ σου παμμάκαρ, καὶ τὰς ἰάσεις ἐκδέχονται, πάντες οἱ δεινῶς διακείμενοι. Δόξα.

**Δ**όξης ἐνθέου, ἱερᾶς λαμπρότητος ἐν οὐρανίοις μοναῖς, ἀξιωθεὶς μάκαρ, διὰ τῆς ἀθλήσεως, τὸ ἔλεός σου πάρεχε τοῖς αἰτοῦσιν ἐν πίστει, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου, ὦ Παντελεῆμον Ἀνάργυρε. Καὶ νῦν. Θεοτοκίον.

**Η** ὑπὲρ λόγον τὸν Θεὸν κυήσασα, εὐλογημένη Ἁγνή, ἄνθος δωρημάτων, παρθενίας τέμενος, τοῦ οὐρανοῦ ὑπέρτερε, Παραδείσου τὸ κάλλος, τῶν Ἀσωμάτων εὐπρέπεια, ῥῦσαι τοὺς πιστῶς προσκυνοῦντάς σε.

Ὠδὴ γ΄. ὁ Εἱρμός. Οὐρανίας ἁψῖδος.

**Π**αροξύνας ἀμέτρως, τὸν λυτρωτὴν ἔνδοξε, πράξεσιν ἀτόποις καὶ λόγοις καὶ ἐνθυμήμασι, νῦν περιπέπτωκα, δεινοῖς παντοίοις ὁ τάλας, τούτων με ἀπάλλαξον, ὦ συμπαθέστατε.

**Ὁ** Θεός σε, παμμάκαρ, Νικομηδέων τὸ καύχημα, ἔδειξεν ἐν κόσμῳ προστάτην πάντων τῶν προστρεχόντων σοι· διὸ ἐκλύτρωσαι, ταῖς πρὸς Χριστόν σου πρεσβείαις, τοὺς πιστῶς τιμῶντάς σε, θεῖε Ἀνάργυρε. Δόξα.

**Ἱ**κετεύω σε πόθῳ τοὺς ψυχικοὺς μώλωπας καὶ τὴν τῆς σαρκός μου δεινὴν ἀσθένειαν ἴασαι, τῇ πρὸς τὸν Κύριον, Παντελεῆμον θεόφρον, ἐκτενεῖ ἐντεύξει τε καὶ ἱκεσίᾳ σου.

Καὶ νῦν. Θεοτοκίον.

**Ὡ**ς πανάμωμος Μήτηρ, τοῦ ποιητοῦ, Ἄχραντε, ὡς ἁγιωτέρα ἁπάντων τῶν ἄνω, Δέσποινα, ὡς πάντων Ἄνασ-



σα, εὐλογημένη Μαρία, ῥῦσαι τοὺς ὑμνοῦντάς σε ἐκ πάσης θλίψεως.

**Δ**ιάσωζε, Παντελεῆμον, τοὺς πόθῳ σε ἀνυμνοῦντας ταῖς πρὸς Θεὸν λιπαραῖς ἱκεσίαις σου πάντοτε, κινδύνων καὶ θλίψεων ἀδοκήτων.

**Ἐ**πίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Καὶ εὐθὺς μνημονεύει ὁ Ἱερεύς, ὑπὲρ ὧν ψάλλεται ἡ Παράκλησις.

Εἶτα τὸ τροπάριον πρὸς τό: Πρεσβεία θερμή.

**Π**ρεσβείᾳ τῇ σῇ πρὸς Θεὸν τὸν φιλάνθρωπον παντοίας ἡμᾶς περιστάσεως λύτρωσαι, καὶ τῆς φοβερᾶς ἐξάρπασον αἰωνίου κολάσεως· σὲ γὰρ προστάτην κεκτήμεθα θερμόν, Νικομηδέων τὸ ἔνδοξον καύχημα.

Ὠδὴ δ΄. Ὁ Εἱρμός. Σύ μου ἰσχὺς Κύριε.

**Σ**ύ με ἀεί, Ἅγιε, τῶν περιστάσεων, σὺ κινδύνων, σὺ καὶ τῆς κολάσεως, παντὸς κακοῦ, καὶ τῶν δυσχερῶν, ταῖς πρὸς τὸν Δεσπότην ἀπάλλαττε ἱκεσίαις σου, σοφὲ Παντελεῆμον, Ὀρθοδόξων τὸ κλέος, τὰς αἰτήσεις παρέχων τῷ δούλῳ σου.

**Ὁ**λοσχερῶς ὑπὸ τὴν σκέπην σου πάντοτε, Ἀθλοφόρε, σπεύδω ὁ πανάσωτος, κράζων θερμῶς, καὶ παρακαλῶ, ῥῦσαί με ἀνίας, καὶ πάσης ἄλλης κακώσεως, σοφὲ Παντελεῆμον, ταῖς λιταῖς πρὸς Χριστόν σου· σὲ γὰρ ἔχω θερμὸν ἀντιλήπτορα. Δόξα.

**Ἵ**να ἡμεῖς, Παντελεῆμον, δοξάζωμεν μετὰ πόθου, ἅγιε, σὸν ὄνομα, καὶ πᾶς πιστός σε ἀνευφημῇ, παράσχου παμμάκαρ, ἡμῖν τὸ ἔλεος ἄνωθεν· πλουτεῖς γὰρ παῤῥησίας πρὸς Θεόν, οἷα Μάρτυς, ὀρθοδόξων τὸ κλέος, θεόληπτε.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΟΡΗΣ ΠΑΠΑ...

Καὶ νῦν. Θεοτοκίον.

Νόες, ἁγνή, τῶν Ἀσωμάτων στρατεύματα, τῶν ἀΰλων τάγματα, καὶ ἅπασαι τῶν οὐρανῶν τάξεις, ἀγαθή, σὲ ὑμνολογοῦσιν ὡς βασιλίδα οὐράνιον, μεθ' ὧν πᾶσα ἡ κτίσις προσκυνεῖ σε, Παρθένε, τῷ ἐλέει σου πάντας οἰκτείρησον.

Ὠδὴ ε'. Ὁ Εἱρμός. Ἵνα τί με ἀπώσω.

Ὑπὲρ ἥλιον, μάκαρ, ἔλαμψας ἐν κόσμῳ λαμπηδόσι τῶν ἔργων σου, καὶ θαυμάτων ὄντως ταῖς ἐλλάμψεσι πάντας ἐλάμπρυνας· διὸ μετὰ πόθου, Παντελεῆμον, σὲ ὑμνοῦμεν, σαῖς λιταῖς πρὸς Χριστὸν ἡμᾶς φώτισον.

Νῦν σε πίστει καὶ πόθῳ πάντες εὐφημοῦμεν, Παντελεῆμον μακάριε, ταῖς πρὸς τὸν Δεσπότην εὐπροσδέκτοις πρεσβείαις σου, ἔνδοξε, ῥῦσαι τῶν κινδύνων, καὶ πάσης ἄλλης κακουχίας, ὡς προστάτης ἡμῶν συμπαθέστατος.

Δόξα.

Ἱλασμὸν τῶν πταισμάτων, καὶ τῶν κατεχόντων με κινδύνων, Ἀνάργυρε, ἀθλητῶν τὸ κλέος, τὸν πιστῶς σε τιμῶντα ἀπάλλαξον, ὡς θερμὸς προστάτης, καὶ ἰατρὸς τῶν ἐν ἀνάγκαις, ἀθλητὰ τοῦ Κυρίου πανεύφημε.

Καὶ νῦν. Θεοτοκίον.

Ὦ μητρόθεε Κόρη, πάναγνε, θεόνυμφε, θεοχαρίτωτε, τάξεις Ἀσωμάτων, καὶ ἁγίων ἁπάντων συστήματα, σὲ ὑμνολογοῦσιν ὡς βασιλίδα τῶν αἰώνων, τῷ ἐλέει σου οἴκτειρον ἅπαντας.

Ὠδὴ ς'. Ὁ Εἱρμός. Τὴν δέησιν.

Ἀνύψωσον εὐσεβῶν κραταίωμα τῇ ἀπαύστῳ πρὸς Θεὸν σου ἐντεύξει· σὺ γὰρ ἡμῶν ὁ προστάτης ὁ μέγας, καὶ σὲ



ὑμνοῦμεν, Ἀνάργυρε πάνσοφε· ἀπάλλαξον πάσης ἡμᾶς ἀθυμίας ἐν τάχει ἀοίδιμε.

Νοοῦντες τὴν πρὸς Θεὸν πανθαύμαστε, παῤῥησίαν σου Ἀνάργυρε θεῖε, πάντες πιστοὶ σὲ ὑμνοῦμεν ἐκ πόθου, ῥῦσαι ἡμᾶς συμφορῶν καὶ κακώσεων, λιταῖς σου πρὸς τὸν λυτρωτὴν, τὰς αἰτήσεις ἡμῶν χαριζόμενος. Δόξα.

Ναμάτων ζωοποιῶν τοῦ Πνεύματος ἐμπλησθείημεν ἐντεύξει σου, μάκαρ, ἵνα καρποὺς ἀρετῶν ἐκβλαστῆσαι, Παντελεῆμον, ἰσχύσωμεν ἅπαντες, τελοῦντές σου τὴν ἱερὰν καὶ σεβάσμιον, μάρτυς, πανήγυριν.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ πάνσεμνος τοῦ Θεοῦ λοχεύτρια, ἡ πανύμνητος θεόπαις Μαρία, τῇ πρὸς Θεὸν ἑαυτῆς παῤῥησίᾳ τῶν δυσχερῶν ἀπαλλάττει τοὺς κράζοντας· ὑμνοῦμέν σου πανευλαβῶς τὸν πανάγιον τόκον, Θεόνυμφε.

Διάσωζε Παντελεῆμον κτλ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ κτλ.

Καὶ μνημονεύει ὁ Ἱερεύς, ὡς προδεδήλωται·

μετὰ δὲ τὴν ἐκφώνησιν εὐθὺς τὸ Κοντάκιον πρὸς τὸ

Προστασία τῶν χριστιανῶν.

Ὡς προστάτης ἀεὶ τῶν πιστῶς δεομένων σου, καὶ μεσίτης θερμὸς πρὸς τὸν μόνον Πανάγαθον, μὴ παρίδῃς ἡμᾶς καταφυγόντας ἐπὶ σέ, ἀλλὰ πρόφθασον ἐν πειρασμοῖς εἰς τὴν ἀντίληψιν ἡμῶν τῶν πιστῶς ἐκβοώντων σοι· τάχυνον ἀθλοφόρε, καὶ λύτρωσαι ἐκ κινδύνων, τοὺς προσιόντας σοι θερμῶς καὶ ὑμνοῦντάς σε, πανεύφημε.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.

## ΕΥΑΓΓΕΛΙΟΝ.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθε πρὸς τὸν Ἰησοῦν ὄχλος Μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας. Καὶ προσκαλεσάμενος τοὺς δώδεκα Μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν· καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν Βασιλείαν τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας· καὶ ἔλεγεν αὐτοῖς· Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ Οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. Πλὴν ἐν



τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς Οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ Πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναὶ ὁ Πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεός.

Καὶ τὰ παρόντα πρὸς τὸ, Ὅλην ἀποθέμενοι.

Μὴ ἐγκαταλίπῃς με, παραπτωμάτων ἐν βάρει τυγχάνειν τὸν ἄθλιον, ἀλλ' ἐξέως ἔγειρον τὸν ἱκέτην σου, ἀνιστῶν, Ἅγιε, ἐκ τῆς ἀπωλείας τῆς ψυχῆς τε καὶ τοῦ σώματος, καὶ διασώζων με ταῖς πρὸς τὸν Θεὸν ἱκεσίαις σου, Παντελεῆμον πάνσοφε, ἵνα σε ὑμνῶ παναοίδιμε, ὡς μέγαν προστάτην, ῥυόμενον ἁπάντων τῶν δεινῶν, καὶ τῆς ἐνθέου λαμπρότητος ἀξιοῦντα ἅπαντας.

Οὐδεὶς προστρέχων ἐπὶ σοὶ, κατῃσχυμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε· ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου

Ὠδὴ ζ'. Ὁ Εἱρμός. Παῖδες ἑβραίων ἐν καμίνῳ.

Σῶσον ἐκ θλίψεως παντοίας τοὺς τιμῶντάς σε, σοφὲ Παντελεῆμον, παῤῥησίας γὰρ σὺ πλουτεῖς πρὸς τὸν Δεσπότην, περιφρουρῶν τοὺς μέλποντας τὸν Χριστὸν εἰς τοὺς αἰῶνας.

**Ἄ**νω μετὰ τῶν Ἀσωμάτων τὴν ὑπέρθεον ὑμνολογῶν Τριάδα, ὑπὲρ πάντων ἡμῶν τῶν πίστει σε τιμώντων, Παντελεῆμον, πρέσβευε λυτρωθῆναι τῶν κινδύνων.

Δόξα.

**Ἔ**φθασαν ἅπαντες ἐν πίστει εἰς ναὸν τὸν σόν, Ἀνάργυρε τρισμάκαρ, οἱ ἐν νόσοις δεινοῖς ποντούμενοι, βοῶντες· Παντελεῆμον ἅγιε, τὴν ὑγείαν ἡμῖν δίδου.

Καὶ νῦν. Θεοτοκίον.

**Ἔ**χεις ὡς μήτηρ παῤῥησίαν πρὸς τὸν σὸν Υἱὸν καὶ Κύριον τοῦ κόσμου· ἐκδυσώπησον οὖν, Παρθένε Παναγία, αὐτοῦ τὴν ἀγαθότητα οἰκτειρῆσαι ἡμᾶς πάντας.

Ὠδὴ η'. Ὁ Εἱρμός. Τὸν ἐν ὄρει ἁγίῳ.

**Ἱ**κετεύει ὁ θεῖος ἀθλοφόρος σὲ τὸν μόνον τῆς δόξης Βασιλέα, ἀποσοβῆσαι πᾶσαν νῦν ἀσθένειαν τῶν ὑμνολογούντων, καὶ παρακαλούντων αὐτὸν εἰς τοὺς αἰῶνας.

**Σ**ὲ ὑμνοῦσιν οὐράνιαι χορεῖαι, τὸν παντάνακτα καὶ Κύριον τῆς δόξης, ἐκδυσωποῦσαι σὺν τῷ ἀθλοφόρῳ σου, σώζειν τε καὶ σκέπειν τοὺς εὐσεβοφρόνως αἰνοῦντάς σου τὸ κράτος.

Δόξα.

**Ὦ** Θεότης, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ταῖς λιταῖς τοῦ θεράποντός σου ῥῦσαι, τῶν δυσχερῶν καὶ πάσης περιστάσεως, τοὺς δοξολογοῦντας, καὶ ὑπερυψοῦντάς σε πίστει εἰς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

**Ἡ** Παρθένος καὶ μόνη Θεοτόκος, τὸν Δεσπότην ὡς μήτηρ ἱκετεύει, ὑπὲρ ἡμῶν ῥυσθῆναι περιστάσεων, καὶ παντὸς κινδύνου τοὺς ὑμνολογοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός. Ἐξέστη ἐπὶ τούτῳ.

**Τ**ὸν πάντων Βασιλέα καὶ ποιητὴν ἱκετεύων μὴ παύσῃ



ἀοίδιμε, ἐκδυσωπῶν ὑπὲρ τῶν τιμώντων πανευσεβῶς τὸ ἱερόν σου ὄνομα, καὶ ἐκδεχομένων ἀεὶ πιστῶς, ἀντίληψιν καὶ χάριν, τὴν σὴν Χριστοῦ ὁπλίτα, Παντελεῆμον ἀξιάγαστε.

**Ἐ**πίβλεψον ἐξ ὕψους Παμβασιλεῦ, τῷ ἀπείρῳ ἐλέει σου Κύριε, ὡς ἀγαθὸς, λύων τὴν κατήφειαν τῶν πιστῶς ἐξαιτουμένων ἴασιν, πάσης νόσου, βλάβης καὶ συμφορᾶς, λιταῖς τοῦ Ἀθλοφόρου, παρέχων εὐφροσύνην, καὶ αἰωνίαν αὐτοῖς λύτρωσιν.

Δόξα.

**Θ**εότης ἐνιαία καὶ φωταυγὴς, Τρισυπόστατε, ἄναρχε Κύριε, μόνε Θεὲ, ὕψιστε παντάρχα, παμβασιλεῦ, σὲ λιτανεύει ἅπασα, καὶ ὑμνεῖ ἡ κτίσις ὡς πλαστουργὸν Ἀνάργυρος ὁ θεῖος, σὺν πᾶσι τοῖς ἁγίοις, καὶ Ἀσωμάτων τοῖς στρατεύμασι.

Καὶ νῦν. Θεοτοκίον.

**Π**ανάχραντε Μαρία, Μῆτερ Θεοῦ, ἀνωτέρα ἁπάσης τῆς κτίσεως, σὲ δυσωπεῖ ὁ μεγαλομάρτυς καὶ εὐκλεὴς Παντελεήμων ῥύεσθαι, καὶ διαφυλάττειν τοὺς τῷ Ναῷ αὐτοῦ προσλιπαροῦντας, καὶ ψάλλοντας ἐν πίστει καὶ κατανύξει τὴν παράκλησιν.

Τὸ Ἄξιόν ἐστι, καὶ τὰ παρόντα Μεγαλυνάρια.

**Τ**οὺς μετ' εὐλαβείας τῷ ἱερῷ καὶ θείῳ ναῷ σου, προσιόντας ταῖς πρὸς Θεὸν, θερμαῖς σου πρεσβείαις, ῥυόμενος μὴ παύσῃ κινδύνων ἀδοκήτων, θεῖε Ἀνάργυρε.

**Φ**ρούρει τοὺς τιμῶντάς σε, Ἀθλητὰ, καὶ εὐσεβοφρόνως προσφοιτῶντας τῷ σῷ ναῷ, καὶ ῥῦσαι κινδύνων, καὶ πάσης ἄλλης βλάβης, σοφὲ Παντελεῆμον, ταῖς ἱκεσίαις σου.

**Δ**έξαι, ὦ Ἀνάργυρε ἀθλητὰ, λιταῖς τῶν σῶν δούλων, ἃς ἐκ στόματος ῥυπαροῦ, καὶ γλώττης βεβήλου, προσάγομεν αἰτοῦντες ἁμαρτημάτων λύσιν ταῖς ἱκεσίαις σου.

**Ἔ**χει μὲν τὸ πνεῦμά σου οὐρανός, ἡμεῖς δὲ πλουτοῦμεν τὸν πανάγιόν σου Ναόν, ὃν περικυκλοῦντες μετ' ἀνεικάστου πόθου, τιμῶμεν καὶ δοξάζομεν, ὦ Ἀνάργυρε.

**Τ**ῷ Θεῷ τῶν ὅλων νῦν παρεστώς, αἴτησαι πταισμάτων, τοῖς τιμῶσί σε παρ' αὐτοῦ, ἄφεσιν δοθῆναι, σοφὲ Παντελεῆμον, καὶ τῶν ἐπερχομένων δεινῶν τὴν λύτρωσιν.

**Δ**έσποτα φιλάνθρωπε βασιλεῦ, μὴ ἀκούσω τότε ἐν ἡμέρᾳ τῇ φοβερᾷ, φωνῆς τῆς ὀργῆς σου, εἰς πῦρ ἀποπεμπούσης, ἀλλ' οἴκτειρον πρεσβείαις τῆς κυησάσης σε.

Εἶτα τὸ Τρισάγιον. Καὶ τὸ Τροπάριον.

Ἀθλοφόρε ἅγιε, καὶ ἰαματικὲ Παντελεῆμον.

Ὁ Ἱερεύς. Ἐλέησον ἡμᾶς. Καὶ Ἀπόλυσις.

Εἰς δὲ τὸν ἀσπασμὸν τῆς Εἰκόνος τοῦ Ἁγίου ψάλλομεν τὸ παρόν, ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

**Χ**άριν εἰληφὼς παρὰ Θεοῦ, πᾶσι χορηγεῖς τὰς ἰάσεις, Παντελεῆμον σοφέ, ἅγιε Ἀνάργυρε, τοῖς σοὶ προστρέχουσι· φυγαδεύεις δαιμόνων γὰρ ἀνίατα πάθη, πάντας θεραπεύεις δὲ τῇ προστασίᾳ σου· ὅθεν καὶ ἡμεῖς δυσωποῦμεν, πρέσβευε πρὸς Κύριον πάσης, λυτρωθῆναι βλάβης τοὺς ὑμνοῦντάς σε.

Ἕτερον ὅμοιον.

**Π**άντας ἐλεεῖς, Μάρτυς Χριστοῦ, τοὺς σοὶ προσδραμόντας ἐν πίστει, ἐν τῷ σεπτῷ σου Ναῷ, ἅγιε Ἀνάργυρε ἀξιοθαύμαστε· διὸ οἴκτειρον ἅπαντας, καὶ νῦν τοὺς σοὺς δούλους, τάχιστα ἐκλύτρωσαι τῶν ἀδοκήτων δεινῶν, θλίψεως καὶ νόσου βαρείας, πάντων δυσχερῶν καὶ κινδύνων, καὶ τῆς ἐν γεέννῃ κατακρίσεως.

ΕΤΕΡΟΣ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΑΝΤΕΛΕΗΜΟΝΑ.

Εὐλογήσαντος τοῦ Ἱερέως, λέγομεν τό, Κύριε εἰσάκουσον. τὸ Θεὸς Κύριος, καὶ τὰ Τροπάρια.

Τῷ Ἀθλοφόρῳ οἱ πιστοὶ ὁμοφρόνως.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε.

Καὶ εὐθὺς ὁ Ν'. Εἶτα ὁ Κανών. Ἦχος πλ. δ'.

Ὠδὴ α'. Ὁ Εἱρμός. Ὑγρὰν διοδεύσας.

**Σ**έ παρακαλοῦμεν οἱ ἐν δεινοῖς πειρασμοῖς πεσόντες, ἐκζητοῦντες ἀπαλλαγήν, θεῖε ἰατρὲ Παντελεῆμον, τούτων ἁπάντων ἡμᾶς νῦν ἐκλύτρωσαι.

**Ἔ**χων ὦ Ἀνάργυρε πρὸς Θεόν, πολλὴν παῤῥησίαν, τοὺς προστρέχοντας εὐλαβῶς, τῷ σεπτῷ ναῷ σου ἀθλοφόρε, ἐκ τῶν παθῶν ταῖς εὐχαῖς σου διάσωσον. Δόξα.

**Ῥ**ύστην γάρ σε ἔχοντες καὶ φρουρὸν ταχυνὸν αἰτοῦμεν, λυτρωθῆναι τῶν δυσχερῶν νόσων τε παντοίας ἐπηρείας καὶ συμφορῶν, ἰατὴρ συμπαθέστατε.

Καὶ νῦν. Θεοτοκίον.

**Σ**αρκός μου τὰ πάθη τὰ χαλεπά, αἴτησαι σὸν τόκον, θανατῶσαι, ὦ Μαριάμ, καὶ νεκρόν με ὄντα ἁμαρτίαις, ἀναζωῶσαι ὡς φύσει φιλάνθρωπος.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑ...

Ὠδὴ γ'. Ὁ Εἱρμός. Οὐρανίας ἁψῖδος.

Διασκέδασον μάκαρ τὰ τῆς ψυχῆς τραύματα, καὶ τῆς ἀθυμίας τὴν ζάλην, καθικετεύομεν, σὲ γὰρ θεόσοφε, γαληνιαῖον λιμένα ἔχοντες προσφεύγομεν οἱ χειμαζόμενοι.

Ἐλεήμονος γνώμης πλουτεῖν σε, θεῖε, κηρύττομεν, ἐλεημοσύνην διδόντα πᾶσι τοῖς χρήζουσι, πάντας γὰρ, ἅγιε Παντελεῆμον, τοὺς πίστει, ἐλεεῖς καλοῦντάς σου τὸ θεῖον ὄνομα. Δόξα.

Συνημμένος χορείαις Ἀγγελικαῖς, πάνσεμνε, καὶ Θεοῦ τῷ θρόνῳ περιχαρῶς παριστάμενος, τοὺς δεομένους σου, καὶ σῷ ναῷ προσιόντας, τῶν δεινῶν ἐκλύτρωσαι ὡς συμπαθέστατος. Καὶ νῦν. Θεοτοκίον.

Ὡς Θεοῦ σε Μητέρα, καὶ γηγενῶν καύχημα, πίστει ἀνυμνοῦμεν, Παρθένε καὶ μακαρίζομεν, ῥῦσαι πανάχραντε, παντοίας νόσου καὶ βλάβης, τοὺς τὴν σὴν ἀντίληψιν καθικετεύοντας.

Διάσωζε παντοίας νόσου καὶ βλάβης, Παντελεῆμον, τοὺς μετ' εὐλαβείας τῷ σῷ τεμένει προστρέχοντας, πρεσβείαις σου ἱεραῖς πρὸς τὸν Κτίστην.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, κτλ.

Ὠδὴ δ'. Ὁ Εἱρμός. Εἰσακήκοα Κύριε.

Ἀθλοφόρε Ἀνάργυρε, πάντας τοὺς τιμῶντάς σε περιφρούρησον, καὶ ταχέως δὸς τὴν ἴασιν, ταῖς πρὸς τὸν Σωτῆρα μεσιτείαις σου.

Μακαρίσωμεν ἅπαντες τὸν Παντελεήμονα, καὶ βοήσωμεν· φθάσον, ῥῦσαι ταῖς πρεσβείαις σου, ἐκ παντὸς κινδύνου τοὺς ὑμνοῦντάς σε. Δόξα.

Ἐκ κινδύνων καὶ θλίψεων, πάντας ἀδοκήτων, θεῖε Ἀνάργυρε, ἀπημάντους διαφύλαττε, τοὺς τῷ σῷ τεμένει προσπελάζοντας. Καὶ νῦν. Θεοτοκίον.



Ῥῦσαι Μῆτερ τὸν δοῦλόν σου, τῶν κατεχουσῶν με παντοίων θλίψεων· ἐπὶ σοὶ γὰρ ἀνατίθημι, τὴν ἐλπίδα πᾶσαν, ἀειπάρθενε.

Ὠδὴ ε'. Ὁ Εἱρμός. Φώτισον ἡμᾶς.

Ῥῦσαί με δεινῶν, ὦ Ἀνάργυρε θεόσοφε, τὸν εὐλαβῶς σε προσκαλούμενον, καὶ ταῖς λιταῖς σου πάσης θλίψεως ἀπάλλαξον.

Νῦν αἱ δωρεαὶ, ὡς πηγαὶ πιστοῖς ἰάσεων, ταῖς σαῖς πρεσβείαις ἐπιχέονται, Παντελεῆμον, ἐκ Θεοῦ τοῖς προσιοῦσί σοι Δόξα.

Σοῦ ἐν τῷ ναῷ προσελθόντας ἡμᾶς ἅπαντας, Παντελεῆμον ἐλευθέρωσον ἐκ νοσημάτων ταῖς εὐχαῖς σου, καὶ κακώσεων. Καὶ νῦν. Θεοτοκίον.

Ψυχῆς τῆς ἐμῆς τὰ χαλεπὰ ἀῤῥωστήματα, καὶ τὰ τοῦ σώματός μου ἴασαι, ταῖς μητρικαῖς σου λιταῖς ἀειπάρθενε.

Ὠδὴ ς'. Ὁ Εἱρμός. Τὴν δέησιν.

Ὑπέρμαχον ἀληθῶς γνωρίζομεν, καὶ φρουρὸν, Παντελεῆμον παμμάκαρ, πολυειδῆ καταπαύοντα πάθη, καὶ ἐπηρείας δαιμόνων ἀπείργοντα· δεόμεθά σου οὖν ἀεὶ, ἀναγκῶν καὶ παθῶν ἡμᾶς λύτρωσαι.

Ἡγίασεν, ὦ Ἀνάργυρε θεῖε, σὲ ὁ πάνσοφος Θεὸς, ὃν δυσωπεῖ, ἁγιασμὸν τοῖς σοῖς δούλοις ἐκπέμψαι, καὶ φωτισμὸν καὶ πταισμάτων τὴν λύτρωσιν· προστάτης γὰρ παρὰ Θεοῦ, ἐδωρήθης ἡμῖν συμπαθέστατος. Δόξα.

Νοοῦντες τὴν πρὸς Θεὸν πανθαύμαστον, παῤῥησίαν σου, Ἀνάργυρε μάκαρ, πάντες πιστοὶ, σὲ ὑμνοῦμεν ἐκ πόθου, ῥῦσαι ἡμᾶς συμφορῶν καὶ κακώσεων, λιταῖς σου πρὸς τὸν

λυτρωτὴν, ἐκπληρῶν τὰς αἰτήσεις τῶν δούλων σου.

Καὶ νῦν. Θεοτοκίον.

**Η** μόνη τὸν λυτρωτὴν κυήσασα, σὺ ὑπάρχεις, Παναγία Παρθένε, ὃν ἐκτενῶς καὶ ἀπαύστως δυσώπει, ἐλεηθῆναι ἡμᾶς τοὺς ὑμνοῦντάς σε, τυχεῖν τε τῆς ἐν οὐρανῷ, ἀπολαύσεως δόξης καὶ χάριτος.

Καὶ τὰ λοιπὰ ὡς προεγράφησαν ἐν τῷ πρώτῳ Κανόνι.

Ὠδὴ ζ'. Ὁ Εἱρμός. Οἱ ἐκ τῆς Ἰουδαίας

**Ἀ**ναργύρου τοῦ θείου, τὴν πανίερον μνήμην πιστοὶ γεραίροντες, δεόμεθα τῆς θείας αὐτοῦ ἐπαπολαῦσαι, ἀρωγῆς τε καὶ χάριτος, καὶ οἱ νοσοῦντες δεινῶς, ταχείας ὑγείας.

**Τ**οῦ σοφοῦ Ἀναργύρου, ὁ ναὸς ὡραΐσθη πολλοῖς ἐν θαύμασιν, ἐν ᾧ τῶν προσιόντων, ἐν πίστει καὶ ἐλπίδι, αἱ ἀσθένειαι παύουσι, καὶ τῶν δαιμόνων φρικταὶ ἐπήρειαι ἡττῶνται. Δόξα.

**Ρ**ύεις τάχος, καὶ σώζεις, ταῖς θερμαῖς πρεσβείαις σου, θεῖε Ἀνάργυρε· καὶ γὰρ εἰ μὴ ἐφρούρεις, ἡμᾶς τοὺς σοὺς ἱκέτας, ἀπολώλειμεν ἅπαντες, καὶ ἐγεγόνειμεν ἂν κατάβρωμα δαιμόνων. Καὶ νῦν. Θεοτοκίον.

**Ν**έον φέρουσα βρέφος, τὸν πρὸ τῶν αἰώνων Θεὸν Παναμώμητε, ταῖς σαῖς σεπταῖς ἀγκάλαις, μὴ παύσῃ δυσωποῦσα, λυτρωθῆναι τοὺς δούλους σου, πυρὸς, σεισμοῦ καὶ λοιμοῦ καὶ νόσων ἀνιάτων.

Ὠδὴ η'. Ὁ Εἱρμός. Τὸν βασιλέα τῶν οὐρανῶν.

**Τ**οὺς προσιόντας σου τῷ ναῷ διατήρει, πειρασμῶν τε καὶ κινδύνων ἀτρώτους· ἔχεις καὶ γὰρ τοῦτον, φρουροῦντα ἡμᾶς πάντας.



**Ω**ς κεκτημένος παρὰ Θεῷ παῤῥησίαν, καθικέτευε ὑπὲρ τῶν σὲ τιμώντων· καὶ εὐχαῖς σου ῥύου κινδύνων ἀδοκήτων.

Δόξα.

**Τ**οὺς σοὺς ἱκέτας, Παντελεῆμον θεόφρον, ἀπὸ θλίψεων κινδύνων τε καὶ νόσων, ταῖς πρὸς τὸν Σωτῆρα ἀπάλλαξον εὐχαῖς σου. Καὶ νῦν. Θεοτοκίον.

**Ι**λεων, Κόρη, ὃν ἐν ἀγκάλαις βαστάζεις, σὺ ἀπέργασαι ἐμοὶ τῷ παναθλίῳ, καὶ τοῦτον δυσώπει, ῥυσθῆναί με πταισμάτων.

Ὠδὴ θ'. Ὁ Εἱρμός. Κυρίως Θεοτόκον.

**Σ**ὲ ἔχοντες προστάτην, σοφὲ Παντελεῆμον, μετὰ Θεὸν, καὶ σωτῆρα καὶ πρόμαχον, ἐκ πάσης βλάβης ῥυόμεθα ταῖς πρεσβείαις σου.

**Ι**άματα παντοῖα, βλύζει ὁ ναός σου, καὶ ἀπελαύνει δαιμόνων τὰ πνεύματα, Παντελεῆμον, διό σε πίστει γεραίρομεν.

**Ρ**ῦσαι ἐκ κινδύνων, ὦ Παντελεῆμον, τοὺς τῷ τεμένει σου πίστει προστρέχοντας, καὶ ἐκ τῶν νόσων ἀπάλλαξον ταῖς πρεσβείαις σου. Δόξα.

**Ω**ς ἔχων παῤῥησίαν, ὦ Παντελεῆμον, πρὸς τὸν τῶν ὅλων Σωτῆρα, καὶ Κύριον, ῥῶσιν ἡμῖν σαῖς εὐχαῖς Ἀνάργυρε δώρησαι. Καὶ νῦν. Θεοτοκίον.

**Μ**αρία Θεοτόκε, τοὺς πιστῶς τιμῶντας, καὶ προσκυνοῦντας τὸν τόκον σου, πάναγνε, ἁμαρτιῶν καὶ δεινῶν εὐχαῖς σου ἐκλύτρωσαι.

Καὶ τὰ λοιπὰ ὡς προεγράφησαν ἐν τῷ ά. Κανόνι.

ΤΕΛΟΣ.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΡΗΤΟΡΟΣ

## ΝΙΚΗΤΑ ΤΟΥ ΠΑΦΛΑΓΟΝΟΣ

### Ἐγκώμιον εἰς τὸν ἅγιον Μεγαλομάρτυρα

# ΠΑΝΤΕΛΕΗΜΟΝΑ (α).

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ, φησὶν ὁ μέγας Ἱεροψάλτης Δαβίδ. Καιρίως δὲ καὶ ἡμεῖς τὸ ἱερὸν μέλος ἀντιστρέψαντες, εἴποιμεν ἄν, ὅτι θαυμαστοὶ οἱ Ἅγιοι ἐν τῷ Θεῷ αὐτῶν. Ὑπερβολῇ γὰρ καὶ ἀληθείας καὶ πίστεως τῷ πιστῷ μόνῳ καὶ ἀληθινῷ Θεῷ ἐξομοιούμενοι, καὶ τῇ ὁμοιότητι καθαρῶς ἑαυτοῖς καὶ μονίμως ἐνιδρυσάμενοι Χριστόν, καὶ ἓν πνεῦμα τούτῳ γενόμενοι, εἶτα τῷ χωνευτηρίῳ καθιέμενοι, καὶ δοκιμαζόμενοι, θαυμάσιον οἷον τὸ τῆς αὐτῶν πίστεως ἀποφαίνουσι δοκίμιον. Ὥσπερ γὰρ ἐν ταῖς τῶν νεφῶν παρατρίψεσιν, ἤτοι ταῖς τῶν πνευμάτων ὀξυτάταις κινήσεσι, τὸ κάλλος ἀναλάμπει τῆς ἀστραπῆς, οὕτως οὗτοι τῷ πειρατηρίῳ συῤῥηγνύμενοι, καὶ ταῖς ἐπιφοραῖς τῶν ἀνόμων ἀντικαθιστάμενοι, τάς τε διὰ λόγων θείων καὶ ἔργων, ὥσπερ ἀστραπὰς, ἀνάπτοντες χάριτας καὶ λαμπηδόνας, θαυμαστοί τινες ἐν Χριστῷ, καὶ ἀξιεπαινετώτατοι καθίστανται. Τούτους καὶ ἡμεῖς αἰνοῦμεν, καί κατὰ δύναμιν μακαρίζομεν καὶ θαυμάζομεν, οἷς ἐθαυμάστωσεν ὁ Κύριος πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς· ἀλλὰ πάντας μὲν ὑφ' ἓν ἐπαινεῖν ἢ θαυμάζειν, ὡς κρεῖττον ἢ κατὰ ἀνθρωπίνην ὂν γλῶσσαν, καὶ ἀκοὴν, καὶ διάνοιαν, παρῶμεν.

Ἕνα δὲ σήμερον τῶν ὅλων Ἁγίων ἀξιομακαριστότατον εἰς ἔπαινον προθέμενοι, καὶ τοῦ Θεοῦ μὲν τὰς ἐν αὐτῷ μεγαλουργίας, τοῦ δὲ τὸν ὅλον ἀγῶνα καὶ τὸν ἀθλητικὸν ὑπὲρ Θεοῦ δρόμον, ὡς ἐνὸν τῷ λόγῳ διαγρά-

(α) Ἡ ἐπιγραφὴ ἐκ τοῦ ἐν τῇ κατὰ Χάλκην Μονῇ τῆς ἁγίας Τριάδος χειρογράφου, ὅπερ σημειοῦται ἐφεξῆς ἐν ταῖς σημειώσεσι διὰ τοῦ Χ, πρὸς διαστολὴν ἑτέρου χειρογράφου τῆς ἐν τῷ ἁγίῳ Ὄρει Μονῆς τοῦ Ῥωσικοῦ, σημειουμένου διὰ τοῦ Ρ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ψαντες καὶ ἐπαινέσαντες, οὕτως αὐτὸν τὸν Θεὸν ἐν τῷ Ἁγίῳ, καὶ τὸν Ἅγιον δὲ θαυμασόμεθα καί μεγαλυνοῦμεν ἐν τῷ Θεῷ. Ἀλλὰ τίς οὗτος ὁ πρὸς ἀγῶνα μέγιστον οὕτω καὶ ὑπερφυῆ τὸν λόγον προσκαλούμενος; ἢ πᾶσι καταφανὲς, ὡς Παντελεήμων ἡμᾶς ὁ μέγας ἀθλοφόρος Χριστοῦ καὶ ἀξιοθαυμαστότατος, ἐπὶ τὴν αὐτοῦ σήμερον ἐτήσιον μνήμην συνειλοχὼς, αὐτὸς ἑαυτὸν καὶ τοῖς λόγοις ὑπόθεσιν λαμπρὰν ὅτι μάλιστα καὶ καλλίστην ἐμπαρέχεται. Παντελεήμων, οὗ καὶ τὴν προσηγορίαν μόνην ἀποχρώντως οἶμαι τὸν ἔπαινον παριστᾶναι· σαφῆ γὰρ τὴν πρὸς τὸν Θεὸν ὁμοιότητα καὶ οἰκείωσιν παρίστησι· καὶ τοσούτῳ μᾶλλον τῶν πάντων αὐτῷ προσεῖναι τὴν θεομιμησίαν, ὅσῳ καὶ μόνος τῶν ἄλλων Ἁγίων τὸ δεσποτικὸν ὄνομα κεκλήρωται ἤθει τινὶ χρηστοτάτῳ καὶ φιλανθρωποτάτῳ, καὶ θεοειδεστάτῃ νοὸς εὐθύτητι καὶ ἀγλαΐᾳ ταύτην ἄνωθεν καταπλουτήσας τὴν θεωνυμίαν· τούτου τὴν ὑπερφυεστάτην μαρτυρίαν καὶ τὰς ἐν αὐτῷ τοῦ Θεοῦ μεγαλουργίας ἐπαινοῦτες, οὐκ αὔξειν αὐτὰ περιουσίᾳ λόγου δυνάμεως ἐπαγγελλόμεθα· οὐδὲ γὰρ τοῖς θείοις ἔργοις ἢ τοῖς παθήμασιν, οἷς τὸ μέγεθος ὑπερβάλλον ἐξ ἑαυτῶν ὁρᾶται, τὴν διὰ λόγων αὔξησιν δυνατὸν εἶναι προσαγαγεῖν· ὥσπερ γὰρ ὑμνοῦντας Θεὸν, οὐχ οἷόν τε διὰ λόγων ἐπίτασιν ἀρετῆς αὐτῷ φιλοτιμήσασθαι, ἐπὶ τῆς ἀκροτάτης ἀεὶ καθεστῶτι τελειότης· τοὐναντίον μὲν οὖν πᾶς λόγος τῆς αὐτοῦ μεγαλειότητος ὁμολογουμένως ἀπολείπεται· οὕτω καὶ τὰ τῶν ἔργων θεοπρεπῆ καὶ τελειότατα, οὐ τῷ ἡμετέρῳ λόγῳ σεμνυνόμενα λαμπρύνεται, σεμνύνει δὲ μᾶλλον τὸν λόγον· καὶ οὗτος ἄριστος τούτων ἐπαινέτης, οὐχ ὁ ἐπὶ μεῖζον δόξης προάγων καὶ ὑψῶν· ἕστηκε γὰρ ἀεὶ ὡσαύτως τῇ ἑαυτῶν λαμπρότητι κλεϊζόμενα καὶ τελειότητι, ἀλλ' ὃς οὐ πάντῃ κατόπιν ἧκε τῆς αὐτῶν ἀξιοπρεπεστάτης διηγήσεως.

Ἐπ' αὐτὸν δὴ λοιπὸν ἴωμεν ἤδη τὸν τοῦ Παντελεήμονος ἀγῶνα, τοσοῦτον τῆς παιδιόθεν αὐτῷ παρακολουθησάσης ὑπομνήσαντες ἀναγωγῆς, ὅσον ἀκολουθίαν ἐντάξαι τῷ λόγῳ, καὶ τὴν γνησίαν αὐτῷ πρὸς τὸν Θεὸν νεῦσίν τε καὶ οἰκείωσιν ἐνδείξασθαι. Πατρὶς μὲν οὖν τῷ μακαριωτάτῳ κάτωθεν ἡ πόλις ἦν Νικομήδεια· ἧς τό,τε πρὸς γῆν καὶ θάλατταν εὔθετον, τό,τε πρὸς πᾶσαν τῶν ἐπιτηδείων ἀφθονίαν ἑτοιμότατόν τε καὶ προχειρότατον, καὶ τὸ ἐπιδοξότατον τῆς πόλεως, τοῖς πᾶσι τρόποις ζηλωτὸν καὶ περιφανὲς, ὡς δῆλον ἅπασι, παρήσω· πατὴρ δὲ Εὐστόργιος μὲν τὴν προσηγορίαν, ἐπιφανὴς δὲ καὶ τῶν πάνυ, καὶ συγκλήτου βουλῆς τετιμημένος μετουσίᾳ, ἀληθὴς δὲ τούτῳ πατὴρ ὁ Θεός· μήτηρ δὲ καὶ πατρὶς, ἡ ἄνω Ἱερουσαλὴμ, ἡ ἐλευθέρα, ἡ μήτηρ κατὰ τὸν Ἀπόστολον πάντων τῶν τέκνων τοῦ Θεοῦ· ὥσπερ δὲ οἱ διττὰ ταῦτα σωματικῶς καὶ πνευματικῶς, οὕτω δὴ καὶ τοὔνομα· κάτωθεν μὲν Παντολέων πρὸς τῶν γεννησαμένων ὠνόμαστο τὴν ἀρχὴν, ἄνωθεν δὲ



Παντελεήμων ἐπὶ τῷ τέλει μετωνόμαστο· ἡ μήτηρ μὲν οὖν χριστιανὴ τὸ σέβας καθεστῶσα, πρὸς ἑαυτῆς ἐποιεῖτο, καὶ τῇ κατ' αὐτὴν θρησκείᾳ νήπιον ἔτι καθεστῶτα προεβίβαζε· ταχὺ δὲ αὐτῆς ἀναλυσάσης, ἀτελῆ δὲ καὶ ἄωρον τὸν υἱὸν καταλειψάσης, ὁ πατὴρ ἕλλην ὢν ὑπὸ Γραμματικοῖς παρεδίδου καὶ παιδευταῖς, ταῖς τῶν ἔξω μαθήσεσιν ἐξασκεῖσθαι, καὶ προγυμνάζεσθαι· καὶ ἐπειδὴ τῶν ἄλλων ἅλις ἔχειν ἐδόκει, ἰατρῷ τινι τοῦτον μεγάλῳ παραδίδωσι· πρὸς ὃν ὁ Παντολέων φοιτῶν, τάχει τε καὶ μεγέθει φύσεως πάντας ἡλικιώτας ὑπερβάλλων, συχνὴν ἐμπειρίαν ἐν οὐ πολλῷ χρόνῳ πρὸς τὴν τῶν ἀνθρωπίνων σωμάτων θεραπείαν συνελέξατο· οὕτω δὲ πᾶσιν ἐπέραστος καὶ ζηλωτὸς ὁ καλὸς ὑπῆρχε νεανίας, ἀνὰ πᾶν σχεδὸν στόμα λαλούμενος, καὶ θαυμαζόμενος, ὥστε καὶ αὐτὸν ἐκεῖνον Μαξιμιανὸν πρὸς τὴν φήμην ἐκθαυμάσαντα, πρὸς ἑαυτόν τε μετακαλέσασθαι, καὶ τῆς καλλονῆς αὐτὸν καὶ συνέσεως ὑπεραγάμενον, ἐν τοῖς πρώτοις τῶν ἰατρῶν, καὶ τοῖς οἰκειοτάτοις τῶν φίλων ἕξειν ἐπαγγέλλεσθαι· εἶχε μὲν οὖν οὕτω ταῦτα, καὶ ὁ νέος τῇ τοῦ σώματος προκόπτων ἡλικίᾳ, τῇ τε συνέσει καὶ τοῖς μαθήμασιν ἐπιδιδοὺς, ἡμέραν ἐξ ἡμέρας τὴν οἰκείαν ἐπέφαινε προκοπήν· τί οὖν ὁ Κύριος; ἆρα τούτων ἐπὶ πολὺ τοῖς ματαίοις ἀφίησιν ἀπασχολεῖσθαι; οὐδαμῶς· ὥσπερ δὲ προέγνω, καὶ σύμμορφον τῆς αὐτοῦ δόξης ἑπόμενον προώρισεν, οὕτω καὶ ἐκάλεσε· καὶ γνησίως ἑπόμενον πῶς οὐκ ἔμελλε δικαιοῦν; καὶ δικαιωθέντα πῶς οὐκ ἔμελλε δοξάζειν αὐτόν; τίς οὖν ὁ τρόπος τῆς κλήσεως; καὶ γὰρ οὐ φοβεροῖς τισιν ἄνωθεν καταπλήττεται θεάμασιν, οὐκ ἀστραπῆς ἐδέησε φοβερᾶς, ἐξιστώσης τῷ φόβῳ, καὶ τῷ καλοῦντι προσαγούσης, οὐ φωνῶν οὐρανόθεν δι' ἀγγέλων στόματος ἀσωμάτως φθεγγομένων, μόναις δὲ τὸ οὖς ὑποσχὼν πρεσβύτου φωναῖς, γηραιοῦ τὴν ἡλικίαν, γηραιοτέρου τὴν διάνοιαν, καθόσον τὴν ἕξιν ἀγαθὸς ἦν τῆς ψυχῆς, κατὰ τοσοῦτον ἑτοίμως τῇ ἀληθείᾳ κατετίθετο· τούτῳ γὰρ κατὰ πάροδον ὁ νεανίας εἰς τὰ διδασκαλεῖα φοιτῶν περιετύγχανε (α). Καί ποτε παρὰ τὸ δωμάτιον εἰσελθὼν, καὶ τοῦ ἱερέως πλησίον κεκαθικὼς, τῶν ἀγαθῶν εὐπειθῶς ἐπηκροᾶτο φωνῶν· ἀνακρίνων γὰρ αὐτὸν οὑτωσί πράως ὁ πραῢς ἐκεῖνος Ἑρμόλαος, ἔκ τε τοῦ σχήματος, ἔκ τε τοῦ ἤθους, ἔκ τε τῆς ἀποκρίσεως, ἄξιον εἶναι τῷ ὄντι κατανενοηκὼς τοῦ Χριστοῦ, τὴν δεσποτικὴν αὐτῷ προσάγει φωνήν· καὶ πείσθητί μοι συνεβούλευεν, ὦ καλὲ παῖ, καὶ σύνες καὶ γνῶθι, ὅτι οὐχ ἁπλοῦς ὁ τρόπος τῆς ἐκλογῆς τοῦ καλοῦ, οὐδὲ μονοειδὲς τὸ τοῖς ἀνθρώποις καθέστηκεν αἱρετόν· δύο δὲ δύο καὶ ἓν κατέναντι τέτακται τοῦ ἑνός· Καὶ ὥσπερ ὁ ἄνθρωπος νοῦς καὶ αἴσθησις, ἤτοι πνεῦμα καθέστηκε καὶ σὰρξ, οὕτω καὶ τοῦ ἀγαθοῦ, τὸ μὲν ἀληθῶς ὂν, τὸ δὲ δοκοῦν·

(α) Τὸ χειρόγραφον Χ « διωμίλει ».

τὸ μὲν ὁρώμενον καὶ ἐπίκηρον, τὸ δὲ νοούμενον καὶ αἰώνιον· καὶ τὸ μὲν βραχέα παῖζον τὴν αἴσθησιν, τὸ δὲ ἐξ αἰῶνος ζωοῦν καὶ κατατέρπον τὸν νοῦν. Οὕτω καὶ βασιλεία καὶ βασιλεὺς, ἃ μὲν ἐν οὐρανοῖς, καὶ ἀδιάφθορα, ἃ δὲ ἐπὶ γῆς, καθίσταται καὶ φθαρτά. Ἡ μὲν τὰ μένοντα καὶ ἀληθῶς ἀγαθὰ τοῖς ἀξίοις αὐτῆς μετὰ ταῦτα ταμιευομένη, ἡ δὲ τὰ ῥέοντα, πλοῦτον καὶ τὴν ψευδομένην εὐημερίαν, καὶ τὴν ἐπ' ὀλίγον νῦν χαριζομένη χαράν· καὶ βασιλεὺς ὁ μὲν, θεὸς ζῶν, θεὸς ἀληθινὸς, ἐξ ἀληθινοῦ πρὸ τῶν αἰώνων γεννώμενος Πατρός. ὃς καὶ λόγος, καὶ σοφία, καὶ δύναμίς ἐστι θεοῦ· ὃς καὶ σὰρξ ὑπὲρ ἡμῶν διὰ φιλανθρωπίαν ἐγένετο, καὶ τοῖς ἀνθρώποις συναναστραφεὶς, καὶ παθὼν τὸ σωτήριον τοῦ Σταυροῦ πάθος, καὶ τριήμερος ἀναστὰς, καὶ ἀναληφθεὶς πρὸς τὸν Πατέρα, μένει λοιπὸν Βασιλεὺς εἰς τὸν αἰῶνα· οὗτος νῦν κάθηται ἐκ δεξιῶν τοῦ θεοῦ, τῶν ἀπὸ πάσης τῆς γῆς πρὸς αὐτὸν ἀναγομένων τὴν σωτηρίαν ἀναμένων, καὶ οὐρανόθεν οὗτος τὴν οἰκείαν ἀποκαλύψει δόξαν, καὶ κρινεῖ τὸν κόσμον ἐν δικαιοσύνῃ, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ· οὗτος Βασιλεὺς ἐστι τῶν βασιλέων· οὗτος Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς. οὗτος ἡμῖν τοῖς χριστιανοῖς ἐστι Θεὸς καὶ Σωτήρ· ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι· ὁ διδοὺς τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον ἐν ἡμῖν, δι' οὗ τὴν καταλλαγὴν οἱ πάντες εὑρίσκομεν πρὸς τὸν Πατέρα. Μαξιμιανὸς δὲ θνητὸς ἄνθρωπος, μάταιος καὶ μιαρὸς, καὶ ματαίοις ἰνδάλμασι προσανέχων ὡς θεοῖς (α)· ὃς ἐπικαίροις φενακίζει τιμαῖς καὶ τῶν αἰωνίων τοὺς πειθομένους ἀποστερεῖ γερῶν· μὴ εἰδὼς, ὅτι μικρὸν ὅσον, ἄπεισιν ὡς καπνὸς ταῦτα, καὶ ὡς ὄναρ οἴχεται, καὶ ὡς πτῆσις ὄρνιθος ὄλλυται, καὶ παράγεται ὡς σκιὰ, μένει δ' αὐτῷ καὶ τοῖς μετ' αὐτοῦ κόλασις εὔδικος, μηδέποτε σβεννύμενον πῦρ. Ἀλλὰ σὺ τέκνον ἡμῶν κάλλιστον καὶ ἐπέραστον, μὴ ἀνάσχῃ μολυνθῆναί σου τὸ τῆς ψυχῆς κάλλος ταῖς ἐναγεστάταις τῶν δαιμόνων κνίσσαις· ἀλλ', ἕως ἄσπιλον ἔχεις τὴν καρδίαν, πρόσελθε τῷ ἀμώμῳ καὶ ἀσπίλῳ Χριστῷ, καὶ κολλήθητι ὀπίσω αὐτοῦ, καὶ τὸ τῆς ἀφθαρσίας καταδεξάμενος λουτρὸν διὰ πίστεως, ἁρμόσθητι καὶ δι' ἀγάπης αὐτῷ κατεγγυήθητι· οἷς ἔνδον αὐτὸν ὅλον ἐνδυσάμενος, οὐ δεηθήσῃ λοιπὸν Ἱπποκράτους, οὐ Γαληνοῦ, οὐκ Ἀσκληπιοῦ, οὐκ ἄλλου οὐδενὸς πρὸς τὴν τῶν ἀνθρωπίνων σωμάτων θεραπείαν (β)· ἕξεις δὲ τὸν ἀληθινὸν τῶν πάντων Ἰατρὸν, λόγῳ μόνῳ, καὶ οὐ κόπῳ καὶ χρόνῳ τὴν θεραπείαν τοῖς κάμνουσι δωρούμενον· ἕξεις δύναμιν ἐν σοὶ τοῦ Χριστοῦ ζῶσαν, ἐν ᾧ τὰ ἀνίατα ἰάσῃ, καὶ τὰ παρ' ἀνθρώποις ἀδύνατα δυνήσῃ, καὶ ψυχῶν καὶ σωμάτων διὰ τοῦ

(α) Τὸ χειρόγραφον Χ, φέρει τὴν προσθήκην: «ὃς κεναῖς δωρεαῖς φρεναπατᾷ, καὶ τῶν οὐρανίων ἀγαθῶν ἀποβουκολεῖ».

(β) Τὸ Ρ. ἔχει «μαλακίαν».



μεγάλου Σωτῆρος ἔσῃ σωτήρ. Τοιαύτης ὁ ἀγαθοφυὴς (α) παῖς τῆς κλήσεως ἠξιωμένος, καὶ τῇ καρδίᾳ τὸ ῥῆμα μετὰ χαρᾶς καταδεξάμενος, ἐπίστευσε μὲν τῷ λόγῳ καὶ ὅλος τὸν νοῦν ἀνεπτέρωτο πρὸς Χριστόν· ἐπεθύμει δὲ καὶ τεκμηρίῳ τινὶ βεβαιωτέρῳ πρὸς τὴν εὐαγγελισθεῖσαν ὁδὸν ἐνιδρυθῆναι· οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ἡ ἐπιθυμία αὐτῷ συνεπληροῦτο· οἴκαδε γὰρ αὐτὸν ἀπὸ τοῦ διδασκάλου στρεφόμενον, καὶ μικρὸν ἐκκλίναντα τῆς ὁδοῦ, παιδίῳ μικρῷ περιτυχεῖν, ᾧ ἰοβόλος ἔχις ἐνάψας (β), καὶ θανατηφόρον ἐκχέας ἰὸν, ἔτι τῷ τόπῳ καὶ αὐτὸς παρῆν· τοῦτο Παντολέων ὡς εἶδε, τῷ δέει μικρὸν ὑπείκων, κρείττονι πάλιν ἐπέστραπτο πρὸς τὸ πτῶμα λογισμῷ, τῆς πρὸς τὸν οὐρανὸν ἀπιδὼν, καὶ κραυγὴν ἐκ βάθους πρὸς τὸν ὑπερουράνιον ἐκπέμψας, ἡσυχῇ τὸν Κύριον Ἰησοῦν Χριστὸν ἐπεκαλεῖτο, ὡς εἰ ἄξιον αὐτὸν ἥγηται (γ) τῆς εὐαγγελισθείσης σωτηρίας, ἀναστήσεται μὲν τὸ παιδίον, διαῤῥαγήσεται δὲ τὸ θηρίον· ἅμα δὲ τῇ προσευχῇ, καὶ τὸ παιδίον ἀνίστατο, καὶ τὸ θηρίον διεῤῥήγνυτο.

Ταῦτα τῆς τοῦ μεγαλομάρτυρος πίστεως τὰ προοίμια· ταῦτα πρὸ τοῦ Βαπτίσματος· ταῦτα πρὸ τῆς τελειώσεως· εἰ δὲ τὰ προτέλεια τοιαῦτα, τὰ τῆς τελειώσεως (δ) ὁποῖα; Ἀλλὰ τοῦ τελείου μὲν Θεοῦ καὶ τὰ ἔργα καθάπερ εἴρηται τέλεια, καὶ κρείττον' ἢ κατ' ἰσχὺν λόγου τούτων εἶναι τὴν δόξαν, καὶ τὴν αἴνεσιν· ὁ μέντοιγε τούτων ὑπηρέτης ἐκ πίστεως προϊὼν εἰς πίστιν, καὶ τῆς ἀτελεστέρας αὐτίκα τὴν τελειοτάτην ἀλλαξάμενος, τρέχει πρὸς τὸν τῆς αὐτοῦ πίστεως καθηγεμόνα, ἐπιδείκνυσι πὸ θαυμάσιον, ἐξαιτεῖται τὸ Βάπτισμα· καὶ ὁ μὲν οὐκ ἔστι μεθ' ὅσης τῆς εὐφροσύνης τὴν νενομισμένην αὐτῷ προσήγαγεν ἱεροτελεστίαν· ὁ δὲ μετὰ χαρᾶς πλείονος τὴν οὐρανίαν ὑπεδέδεκτο δωρεάν· δοκῶ μοι καὶ πάσας ἐκεῖ τὰς οὐρανίας δυνάμεις ἀγαλλιασθῆναι, τὸν Πατέρα τῶν φώτων ὁρώσας υἱὸν ἑαυτῷ φωτὸς μετά τινος εἰσποιούμενον ἀῤῥήτου χαρᾶς· ἑπτὰ δὲ ἡμέρας παρὰ τῷ τετελεκότι μείνας, καὶ τῇ χάριτι στηριχθεὶς, καὶ τοῖς λογίοις καταρτισθεὶς, καὶ τῷ μυστηρίῳ τελειωθεὶς, οὕτως ὑπὸ τοῦ ἁγίου Πνεύματος ἤγετο, τοῦ εὐεργέτου τὴν δόξαν τοῖς ἀγνοοῦσιν φανερώσων. Καὶ ὥσπερ ὁ Κύριος καὶ Υἱὸς τοῦ πατρικοῦ Πνεύματος πεπληρωμένος, τὸν Πατέρα δοξάσων ἐν αὐτῷ παρεγεγόνει, οὕτως ὁ πιστὸς ὄντως καὶ φρόνιμος ἱκέτης πλήρης τοῦ Κυρίου Πνεύματος ὢν, τὴν δόξαν ζητῶν ἦλθε τοῦ πέμψαντος αὐτόν· πρῶτον μὲν τὸ οἰκεῖον τραῦμα, οἷα δὴ δοκιμώτατος ἰατρὸς θεραπεύων, τὴν πλάνην κατ' ὀλίγον διωρθοῦτο τὴν

(α) Τὸ Χ. «μεγαλοφυής».
(β) Τὸ Ρ. «ἀναΐξας».
(γ) Τὸ Χ. «ἡγεῖται».
(δ) Τὸ Ρ. «τελειότητος».

πατρικὴν, οὐ σκληρότητι τοῦτον, ἐπιεικείᾳ δὲ μᾶλλον μετιών· καὶ πῆ μὲν
αἰνιγματωδῶς, πῆ δὲ καὶ σαφῶς τὴν εὐτέλειαν τοῦ τῶν εἰδώλων σεβά-
σματος ἐλέγχων, ἠρέμα τούτῳ τὴν μεγαλοπρέπειαν τῆς δόξης ὑπεδείκνυε
τοῦ Χριστοῦ· ἐπεὶ δὲ τὸν νοῦν αὐτῷ ταῖς καθημεριναῖς ὁμιλίαις οὕτως
ἐξεκρέμασεν, ὡς μήτε τοῖς θεοῖς ἔτι προσέχειν, μήτε δὲ βεβαίαν κεκτῆ-
σθαι (α) τὴν διάθεσιν εἰς Χριστὸν, οὐκ ἠμέλησε τούτου λοιπὸν ἡ ὑπεράγα-
θος Σοφία· προνοίᾳ δὲ κρείττονι τυφλός τις ἐξαπίνης χειραγωγούμενος, τῷ
Παντολέοντι προσῄει, καὶ τὴν λώβην ὑπεδείκνυ τῶν ὄψεων, καὶ τῆς παρ'
αὐτοῦ θεραπείας μεγάλαις κατεδυσώπει τυχεῖν ταῖς φωναῖς· ὁ δὲ καλεῖ
μὲν ἐπ' ὄψει τοῦ πατρὸς τὸν τυφλὸν, τὸ ὄνομα δὲ Ἰησοῦ Χριστοῦ, τοῦ
ζωοποιοῦντος τοὺς νεκροὺς, καὶ τοὺς ἐσκοτισμένους φωτίζοντος ἀδιακρί-
τως ἐπικαλεσάμενος, καὶ τύπον σταυροῦ κατὰ τῶν πεπηρωμένων πεποιη-
κὼς ὀφθαλμῶν, παραχρῆμα τοῦτον ἔδειξεν ὑγιῆ· καὶ ἀνακεκαθαρμένης
αὐτῷ τῆς ἐπικειμένης ἀχλύος, τηλαυγῶς εἶδεν. Αὕτη γίνεται τῆς τελείας
Εὐστοργίου πίστεως ἀφορμή· τοῦτο τὸ θαῦμα καὶ τῷ ἰαθέντι σωτηρίας
παραίτιον κρείττονος γεγένηται· ἄμφω γὰρ αὐτοὺς ὁ μεγαλόφρων λαβὼν,
πρὸς τὸν ἱερὸν ἔθεε ποιμένα, καὶ τὸ σημεῖον ἐμφανίζει, καὶ τὴν πίστιν
θριαμβεύει, καὶ ἐκθύμως αὐτὸν ἱκετεύοντας, τῆς οὐρανίας ἐκεῖνος ἀξιοῖ
δωρεᾶς. Τί τοῦτο τῆς ἀκροτάτης πίστεως; τί δὲ τῆς τῶν Ἀποστόλων
δυνάμεως ὑφεῖται; χρόνῳ μόνῳ τῆς ἀποστολικῆς οὗτος μεγαλοπρεπείας
ἀπολείπεται, τοῖς ἔργοις ἐξισούμενος· καὶ τῷ μὴ σωματικαῖς ὄψεσιν ὡμι-
ληκέναι Χριστῷ, τὸ δὲ οὐχ ὕφεσιν, προσθήκην δὲ μᾶλλον ἔχει μακαρι-
σμοῦ· εἴπερ καὶ ὁ Κύριος τοὺς μὴ ἰδόντας αὐτὸν, καὶ ἀληθῶς αὐτῷ
πεπιστευκότας ὑπὲρ τοὺς ἑωρακότας ἐμακάρισεν. Ἐντεῦθεν κατευθύνεται
μὲν ἡ ὁδὸς τῷ δικαίῳ πρὸς τὴν ὁδὸν τοῦ μαρτυρίου, ἀναλάμπει δὲ λαμ-
πρότερον ἡ τοῦ Χριστοῦ δύναμις ἐν αὐτῷ· πάντα γὰρ ὁ πατὴρ τὰ οἰκεῖα
εἴδωλα καθῃρηκὼς, τελείᾳ δὲ πίστει, καὶ γνησίᾳ Χριστῷ προσθέμενος
στοργῇ, ταχὺ πρὸς αὐτὸν μετέστη· ὁ δὲ τοὺς ἱκέτας μὲν ἠλευθερωκὼς,
τὰ προσόντα δὲ πάντα τοῖς πένησιν ἐπιμεμερικὼς, καὶ ὅλον ἑαυτὸν ἀπο-
δοὺς (β) τῷ Χριστῷ, πάσας νόσους ἀνθρώπων καὶ τὰς ἀνιάτους οὐ χρυ-
σοῦ οὐκ ἀργυρίου, οὐθ' ὅλως μισθοῦ τινος, ἀλλὰ δωρεὰν ἐν τῷ ὀνόματι
περιοδεύων ἐθεράπευεν Ἰησοῦ. Ἐντεῦθεν τοῖς ἰατροῖς ὁ φθόνος, ἐκ τοῦ
φθόνου δὲ τὸ μῖσος, ἐκ τοῦ μίσους δὲ ἡ διαβολὴ, ἐξ αὐτῆς δὲ ὁ τύραννος
ἀναφλεγεὶς, πρῶτον μὲν τὸν τεθεραπευμένον εἰσκαλεῖ τυφλὸν, καὶ τὸν
τῆς ἰάσεως αἴτιον, καὶ τὸν τρόπον πυνθάνεται τῆς θεραπείας· ἐπεὶ δὲ οὐκ
ἠρνήσατο, ἀλλ' ὡμολόγησεν ἐκεῖνος ὑπὸ Χριστοῦ μὲν, διὰ τῆς Παντο-

(α) Τὸ Χ. « κεκτῆσθαι δύνασθαι ».
(β) Τὸ Χ. « δούς ».



λέοντος δὲ τεθεραπεῦσθαι χειρὸς, τῷ μὲν αὐτίκα ζημίαν ἐπάγει κεφα-
λικὴν, ἄγεται δὲ λοιπὸν ὁ μακάριος εἰς κρίσιν, καὶ εἰσάγεται οὐχ ὡς
κριθησόμενος, ἀλλ' ὡς καταδικάσων κατὰ κράτος τὸν πικρὸν ἀντα-
γωνιστήν· εἱστήκει γὰρ τῷ ὁρωμένῳ μὲν κάλλει τῆς ὄψεως τὸ θέατρον
ἐκπλήττων, καὶ ὅλον πρὸς ἑαυτὸν ἐπιστρέφων τοῦ διαβόλου τὸ συνέδριον·
τῷ ἀναστήματι δὲ τῆς ψυχῆς, καὶ τῷ ἀκαταπλήκτῳ τοῦ φρονήματος οὐ
Μαξιμιανὸν μόνον, ἀλλὰ καὶ τὸν ἐν αὐτῷ πατάσσων καὶ θλίβων Σατᾶν.
Πρῶτον μὲν οὖν ἐκεῖνος, δεινὸς γὰρ ἦν τις πανοῦργος, τὸ ἡδυφανὲς τοῦ
τρόπου καὶ μειλίχιον οἷόν τι δέλεαρ προτείνων ἦν τῷ ἀγωνιστῇ. Ἀκήκοα
γὰρ, ὦ Παντολέων, ἔλεγεν, οὐκ ἀξίας περὶ σοῦ φήμας τῆς τε κατὰ
ψυχὴν παιδείας, καὶ τῆς κατὰ τὸ σῶμα παντάπασιν ἀνοικείου ὡραιό-
τητος· καὶ γὰρ, ἔφασαν, τὸν μέγαν Ἀσκληπιὸν καὶ τοὺς ἄλλους θεοὺς
ἠμελῆσθαι παρὰ σοὶ, ἐπὶ Χριστῷ δ' ἐκείνῳ, τῷ βιοθανεῖ βροτῷ, τὰς τῆς
ψυχῆς ἐλπίδας σαλεύοντα, τοὺς τῶν μεγάλων θεραπεύειν θεῶν ὑβριστάς·
ἀλλ' ἐγὼ τὴν κατηγορίαν ἀπεσεισάμην ὡς ψευδῆ· οἶδε γὰρ καὶ ὁ παρὰ
τῶν ὁμοτέχνων καὶ τῶν γειτόνων φθόνος ἀνάπτειν ἐνίοτε κατὰ τοῦ
εὐδοκιμοῦντος τὴν συκοφαντίαν· μὴ γὰρ τὴν ἡμετέραν ἠγνόησας διάθεσιν
περὶ σέ; ἢ ἐπελάθου τὴν εὔνοιαν, καὶ ὅσα πρῴην παιδείας τῆς σῆς εἵνε-
κεν τῷ σῷ παρηγγέλλομεν καθηγεμόνι, ὥστε σε θᾶττον ἀσκησάμενον
καλῶς τὴν ἰατρικὴν, εἰς τὸ ἡμέτερον στῆναι πρόσωπον, τοῖς πρώτοις
τῶν θεραπόντων ἐναριθμούμενον; καὶ νῦν τοῦγε ἕνεκεν προσκέκλησαι, ὥστε
καὶ τὴν ὑπονοουμένην κατὰ σοῦ λοιδορίαν ἀπολογίαις εὐλόγοις ἀποτρί-
ψασθαι, καὶ τοῖς μεγίστοις καὶ ζῶσι θεοῖς τὴν ὀφειλομένην ἀποδόντα
τιμὴν, τῆς τε παρ' αὐτῶν εὐμενείας, καὶ τῆς ἡμετέρας φιλοφροσύνης
κατατρυφᾶν.—Ἀλλὰ πῶς ἂν γνοίημεν, ὦ Βασιλεῦ, ἔφη, τίς ἐστιν ὁ ζῶν καὶ
ἀληθῶς ὢν Θεὸς, εἰμὴ διὰ πείρας αὐτὸν τὸν νοῦν πληροφοροίημεν; δεῖν
γὰρ οἶμαι τὸν συνέσεως μεταποιούμενον ἅπαντα μετὰ πληροφορίας
δρᾷν. μάλιστα δὲ χρῆναι τὸ σεβαζόμενον ἀσφαλῶς πεπεῖσθαι, ὡς ἔστι
τῷ ὄντι Θεὸς, καὶ ὄντως ἀνενδοιάστως αὐτῷ τὴν προσήκουσαν ἀναφέρειν
τιμήν· ὅσῳ γὰρ μείζων ἐστὶν ἔργων ἁπάντων ἡ περὶ τὸ θεῖον ὁσιότης,
τοσούτῳ μείζων ὁ κίνδυνος τοῦ ἀληθῶς μὲν Θεοῦ παραμελεῖν, τῷ μὴ
ὄντι δὲ καρδίας προσκεῖσθαι διαθέσει· νῦν οὖν, ὦ Βασιλεῦ, ἀμφιβολίας
μεταξὺ κειμένης, και σοῦ μὲν τοὺς λεγομένους θεοὺς ὡς ἀληθινοὺς
ὑψοῦντος θεοὺς, ἐμοῦ δὲ τὸν Χριστὸν μόνον εἰδότος ὄντα Θεὸν, εἰ κελεύ-
εις, ἔργῳ καὶ πείρᾳ τὴν ἐν τούτοις ἀλήθειαν ἐπισκεψώμεθα. Τίς οὖν ἡ
πεῖρα; ἐλθέτω τάχος εἰς μέσον παραλυτικός· ἐλθέτωσαν δὲ οἱ Ἱερεῖς, καὶ
πάντες οἱ νομιζόμενοι θεραπευταὶ τῶν θεῶν, καὶ ὧδε ἐγὼ τὸν Χριστὸν
ἐπικαλούμενος ἔστηκα τὸν ἐμόν· ἐπικεκλήσθωσαν δὲ καὶ αὐτοὶ τοὺς αὐτοὺς
θεοὺς πρῶτοι· οὗ τινος δὲ τῷ ὀνόματι ὁ ἀῤῥωστῶν ἰαθείη, Θεὸς οὗτος ζῶν,

καὶ μόνος προσκυνητὸς δηλαδή. Ἤρεσε ταῦτα καὶ τῷ ἀδίκῳ Βασιλεῖ· ἔργον γὰρ τοῦτο τῆς μεγάλης τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως εἰς μεγίστην διατροπὴν τῶν πεπλανημένων· αὐτίκα τοίνυν εἰς μέσον παρῆκτο παραλελυμένος ἀνὴρ, ἐπὶ κλίνης ὑπὸ τεττάρων ἐπαιρόμενος, παρῆσαν δὲ καὶ τῶν ματαίων θεῶν οἱ Ἱερεῖς· καὶ πάντες, ὃς μὲν τὸν Δία, ὃς δὲ τὸν Ἀπόλλω, ἄλλος τὸν Ἀσκληπιὸν, καὶ ἄλλος ἄλλον ἐπεβοάτο φωνῇ· ὁ δὲ τὴν αὐτῶν ματαιοπονίαν ἐμειδία ὁρῶν· ἐπεὶ δὲ ἅλις αὐτοῖς εἶχε τὰ τῆς ματαιότητος, ἀνατείνει τὸ ὄμμα μὲν ὁ μακάριος πρὸς οὐρανὸν, τὸν ἐπὶ τοῦ θρόνου καθήμενον ἐπικαλούμενος τοῦ Πατρός· συνανατείνει δὲ τὴν διάνοιαν, καὶ προσφύεται νοερῶς, εἰ θέμις τοῦτο εἰπεῖν, τῶν ποδῶν ἐπειλημμένος Χριστοῦ· καὶ πρὸς τὸν ἄῤῥωστον εὐθέως ἐπιστραφεὶς, και τῆς χειρὸς λαβόμενος, ἐν τῷ ὀνόματι, φησὶν, Ἰησοῦ χριστοῦ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου, καὶ ἔσο ὑγιὴς ἀπὸ τῆς ὥρας ταύτης· ἅμα τοίνυν τῷ τοῦ Ἁγίου παραγγέλματι, παντοδυνάμῳ χειρὶ στηριχθεὶς, καὶ ἐξ ἑαυτοῦ ἀναστὰς, ὢ τοῦ θαύματος! ἐνώπιον πάντων ἀλλόμενος ἀπῄει· τίς οὐκ ἔφριξεν ὁρῶν ταῦτα; τίς καρδία οὐκ ἠγαλλιάσατο πιστή; τίνος τῶν ἀσεβῶν οὐκ ἐπλημμέλησε καὶ κατεθραύσθη ψυχή; τοῦτο τὸ ἔργον οὐδὲν τοῦ κατὰ τὸν Ἠλίαν ἀπολείπεται θαύματος· πλὴν ὅτι, ὁ μὲν εἰς ὄλεθρον, καὶ τῶν προφητῶν τῆς αἰσχύνης κόλασιν ἔνδικον τὴν ὑπερφυᾶ κάθοδον ἐχρήσατο τοῦ πυρὸς, ὁ δὲ τοῦ φιλανθρώπου Πνεύματος Ἰησοῦ Χριστοῦ πλήρης ὢν, εἰς σωτηρίαν αὐτοῦ τε τοῦ ἰαθέντος καὶ τῶν δι' αὐτοῦ Χριστῷ πεπιστευκότων, τῷ θαύματι τούτῳ συνεχρήσατο. Τοῦτο τῆς ἐν τῷ μεγάλῳ Πέτρῳ καὶ Ἰωάννῃ δυνάμεως τῆς ἐξουσίας εἰπών τις ἐνέργημα οὐκ ἂν διαμάρτοι τῆς ἀληθείας· ἢ οὐ τοῖς αὐτοῖς ῥήμασι, τῇ αὐτῇ πίστει κἀκεῖνος, καὶ τῷ αὐτῷ Πνεύματι, τὸν ἐπὶ τοῦ Ἱεροῦ καθήμενον καὶ προσαιτοῦντα παραλελυμένον ἀνωρθώσατο; καὶ τῷ Ἰησοῦ ὀνόματι τάς τε βάσεις αὐτοῦ στερεώσαντες καὶ τὰ σφυρὰ, οἰκείοις βαίνειν ἀφῆκαν ποσί; τοῦτο Μαξιμιανὸς ἰδὼν, καταισχύνεται μὲν, καὶ θαυμάζει, καὶ ταράττεται, καὶ σαλεύεται, καὶ τρόμος ἐπελάβετο αὐτόν· μένει γοῦν ὅμως Μαξιμιανός· μικρὸν γὰρ πρὸς τοὺς αὐτοῦ διστάσας θεοὺς, ἀνανήφει πάλιν ἀπὸ τῆς σώφρονος ἐκστάσεως, καὶ πρὸς τὴν οἰκείαν αὐτοῦ λύτταν ἀκρατέστερον ἐκφέρεται καὶ πλανᾶται, ὡς οὐ τῇ Χριστοῦ δυνάμει, ἀλλὰ τῇ τῶν αὐτοῦ θεῶν ὁ παράλυτος ἐστερεώθη· διά τοι τοῦτο πάλιν ἐπ' ἀγῶνας μείζους τὸν κράτιστον ἀγωνιστὴν ἐκάλει· ἔδει γὰρ τὸν μὲν διὰ πάσης καταισχυνθῆναι πείρας, καὶ τὸν ἐν αὐτῷ μείναντα καταθραυσθῆναι Σατᾶν· τὸν δὲ διὰ πάσης βασάνου νικήσαντα στεφανωθῆναι, καὶ τὸν ἐν αὐτῷ κηρυττόμενον μεγαλυνθῆναι Χριστόν· αὖθις γοῦν τὸν ἀγῶνα λαμπρότερον ἀνανεούμενον, οἴκτειρον, ἔφη, Παντολέον, τὴν ἀκμὴν, καὶ τὸ ἐπανθοῦν σοι κάλλος τῆς νεότητος, καὶ μὴ ἐνιδρυθῆναι θελήσῃς τῇ ματαίᾳ πεισμονῇ ταύτῃ, ἀλλὰ



προσελθὼν, ἐξευμένισαι τοὺς θεοὺς τιμαῖς καὶ σπονδαῖς, ἵνα σοι καὶ παρ' ἡμῶν μεγάλαι προστεθῶσι δωρεαὶ καὶ τιμαί, τοῦτο σαφῶς εἰδὼς, ὡς ἀπειθοῦντι, βάσανοι μὲν δρυμεῖαι, καὶ χαλεπαὶ καὶ δειναὶ, θάνατος δὲ ὁ οἴκτιστος ἀπόκειταί σοι. Ἀλλ' οὐκ ἀνηλεῶς, ὦ Μαξιμιανὲ, φησί, περὶ τὴν ἐμὴν ψυχὴν διακείμενος, εἰς τούς δε τοὺς πόνους ἐμαυτὸν καθῆκα· οὐδὲ γὰρ οὕτω τοῦ σώφρονος ἀπώλισθον λογισμοῦ, ὡς τὸ χεῖρον τοῦ κρείττονος, ἢ τὸν θάνατον τῆς ζωῆς προτιμᾷν· οἶδα δὲ, καὶ σαφῶς οἶδα, ὡς ἐν μὲν τοῖς παρ' ὑμῶν προτεινομένοις θανάτοις (α) ἡ ἀληθὴς καὶ διηνεκὴς ἐγκέκρυπται ζωὴ καὶ χαρὰ, ἐν ταῖς φιλοτιμίαις δὲ καὶ δωρεαῖς, αἰώνιος θάνατος, καὶ ἡ τοῖς ἀσεβέσιν ὀφειλομένη παρεδρεύει τιμωρία, ὅτι διὰ τῶν θλίψεων μὲν ἡμῖν, καὶ τῶν τοῦ σώματος δυσχερῶν ἡ πρὸς τὸν Χριστὸν καὶ τὴν αὐτοῦ βασιλείαν εἴσοδος παρασκευάζεται· διὰ τῆς παρ' ὑμῖν δὲ τρυφῆς, καὶ ὀλιγοχρονίου ἀπολαύσεως ἡ πρὸς τὸν ᾅδην, καὶ τοὺς ἐκεῖ κολαζομένους δαίμονας, οὓς ὑμεῖς ὡς θεοὺς πλανώμενοι σέβεσθε, διανοίγεται καταγωγή· ὅσῳ οὖν πλείω καὶ δεινότερα κατὰ τοῦ ἡμετέρου σώματος ἐπινοήσεις, τοσούτῳ μᾶλλον εὐεργετήσεις τὴν ψυχὴν, καὶ μὴ βουλόμενος, τὰς καλλίστας αὐτῇ παρὰ τῷ ἐπουρανίῳ Βασιλεῖ προξενήσεις δωρεὰς καὶ τιμάς.

Ταῦτα οὖν εἰδὼς, καὶ τὴν ἡμετέραν γνώμην ἐν τούτοις ἀσφαλῶς μένουσαν ἐξεπιστάμενος, πρόσθες, εἰ βούλει καὶ ἄλλην πεῖραν λαβεῖν, τῆς ἐν ἐμοὶ κεκρυμμένης ἰσχύος Χριστοῦ· τούτων εἰρημένων οὐκέτι καθεκτὸς ὁ χαλεπὸς τύραννος ἐκεῖνος ἦν· οὐκέτι κατασχεῖν ἑαυτὸν τῆς ὀργῆς οἷός τε ἦν, πᾶσαν δὲ τὴν ἐνδομυχοῦσαν αὐτῷ πρὸς μιαιφονίαν κακομηχανίαν ἔνδοθεν ἀνακινῶν, καὶ πᾶσαν δὲ τὴν ὑπηρετουμένην αὐτῷ τάξιν ἔξωθεν βοαῖς ἀτάκτοις θράττων καὶ θορυβῶν· τοιοῦτος γὰρ ὁ τοῦ Διαβόλου ζῆλος, μίαν ἑαυτοῦ μόνην ἡγούμενος παραψυχὴν, τὸν θάνατον τοῦ ζηλουμένου· πάσῃ μηχανῇ καὶ ἰσχύϊ πρὸς φόνον τοῦ Παντολέοντος ὠτρύνετο. Τίς οὐκ ἔφριξεν ἐκεῖ Βασιλέα θυμούμενον ὁρῶν; ἄρχοντάς τε καὶ δορυφόρους πάντας συμμαινομένου ἑαυτῷ, δημίους πρὸς φόνον ἐξοπλιζομένους, μαχαίρας ἀκονουμένας, πῦρ ὑφαπτόμενον, λέβητας ζέοντας, μόλυβδον ἀναλυόμενον, τροχοὺς παρασκευαζομένους, θῆρας ἀγρίους εὐτρεπιζομένους, καὶ γῆν καὶ θάλατταν καὶ πᾶν ὄργανον στρεβλωτήριον καὶ πᾶν τιμωρίας εἶδος καθ' ἑνὸς νεανίου κομιδῇ καὶ ἁπαλοῦ τὴν ἕξιν τοῦ σώματος ἐπινοούμενα καὶ ἐπαπειλούμενα; ἆρ' οὐκ ἐδείσατε καὶ αὐτοὶ περὶ τοῦ πρὸς ταῦτα πάντα διαγωνιεῖσθαι παρεσκευασμένου; Ἀλλὰ θαρσεῖτε, οὐ γὰρ κατ' ἀνδρὸς ψιλοῦ μᾶλλον, ἢ κατὰ Χριστοῦ ὁ ἀγών· ὃς οὐ δι' ἑαυτοῦ μόνον, ἀλλὰ καὶ διὰ τῶν οἰκείων αὐτοῦ πάντων

(α) Τὸ Χ. « θανάτοις καὶ θανατοῖς ».

νενίκηκε τὸν κόσμον, καὶ ἀεί νικᾷ· οὗτος οὐχ ἑνὶ τρόπῳ τὸ πανσθενὲς τῆς δυνάμεως ἐνδείκνυται, ἀλλὰ καὶ ταῖς κατὰ τῶν στοιχείων καινοτομίαις ἐνδοξάζεται, καὶ μάρτυς Ἠλίας τε καὶ Μωϋσῆς· ἀλλὰ καὶ ταῖς κατ᾽ ἐχθρῶν νίκαις ὑψοῦται καὶ τροπαιοφορίαις, καὶ μάρτυς Ἰησοῦς, καὶ Δαβὶδ ὕστερον· ὁ αὐτὸς καὶ ταῖς ὑπὲρ ἀνθρώπων εὐεργεσίαις τέρπεται μάλιστα καὶ μεγαλύνεται, καὶ μάρτυρες οἱ Ἀπόστολοι· καὶ πρὸ αὐτῶν αὐτὸς ἐκεῖνος ὁ τῶν θαυμασίων Θεὸς, ὅλην αὐτοῦ τὴν μετὰ τῶν ἀνθρώπων συναναστροφὴν ὑπόθεσιν εὐεργεσίας ἐνστησάμενος· οὗτος καὶ ταῖς τῶν ἀθλοφόρων νίκαις ἐπαγάλλεται, καὶ τοῖς αὐτῶν μέλεσιν ὡς οἰκείοις χρώμενος, καὶ συναγωνιζόμενος διὰ τὸ τῆς προαιρέσεως γνήσιον, καὶ τὴν τῆς καρδίας αὐτῶν ἑτοιμασίαν τροπαιούχους αὐτοὺς καὶ στεφανηφόρους ἀποτελεῖ νικητάς· ὁ αὐτὸς καὶ τῷ νῦν ἐπαινουμένῳ, εἰς τὸν προκείμενον ἀγῶνα συνεισιὼν, καὶ ἀοράτῳ δυνάμει τούτῳ συναγωνιζόμενος, καὶ πάσης ὑπέρτερον ἀποδεικνὺς τοῦ ἀνταγωνιστοῦ μηχανῆς, ἐν αὐτῷ μεγαλοπρεπέστατα δεδόξασται· ἀλλὰ καλὸν οὐκ εἴη κατ᾽ εἶδος ἑκάστην βάσανον ὑπομνῆσαι τῷ λόγῳ δι᾽ ἐπιτομῆς, ὡς ἂν καὶ τοῦ ἀγωνιστοῦ τὴν περὶ (α) πάντα γενναιότητα καὶ εὐστάθειαν, πολλῷ δὲ πλέον τοῦ ὑπερμαχοῦντος Θεοῦ, τὴν παντοδύναμον αἰνέσωμεν δεξιάν.

**Πρῶτον** μὲν οὖν ἐπὶ ξύλου κρεμασθῆναι, καὶ σιδηροῖς ὄνυξι ξεσθῆναι, εἶτα λαμπάδας αὐτοῦ ταῖς πλευραῖς προσέταξε προσενεχθῆναι· ἐπὶ πολὺ δὲ τιμωρουμένῳ, καὶ ἐκτενῶς τὸ ὄμμα πρὸς Κύριον ἐκτεταμένῳ καὶ τὴν ἄνωθεν ἐπικαλουμένῳ ῥοπὴν, ἀθρόως αὐτῷ παρέστη Χριστὸς, Ἑρμολάου τὸ εἶδος ἐνδύς· παρέστη, τὸν μὲν θάῤῥος ἀναπιμπλῶν, καὶ τοὺς τοῦ σώματος μώλωπας ἰώμενος, τὸ δὲ πῦρ σβεννύων, καὶ τοὺς δημίους παραλύων· Γοητείαν δὲ τοῦ Θεοῦ τὰ θαυμάσια ὁ ἀληθὴς γόης Μαξιμιανὸς ὑπονοῶν, ἠγωνίζετο νικᾶν· ὅθεν λέβητα σιδηροῦν μέγαν κελεύει παραχθῆναι, ἐμβληθῆναι δὲ μόλυβδον, καὶ τοῦτον πολλῷ κατακαυθῆναι (β) πυρί· βράζοντι δὲ ἐνθεῖναι τὸν ἀθλητὴν ἐν αὐτῷ· προσευχομένῳ τοίνυν πάλιν ὁ Κύριος τῷ αὐτῷ σχήματι παρίσταται, καὶ τῆς χειρὸς τούτου λαβόμενος, εὐθύμως συνεισῄει· τί οὖν; τὸ πῦρ ἐσβέστη (γ) εὐθὺς, καὶ ὁ μόλυβδος ἐπάγη· ὁ δὲ ἀπήμαντος ἑστὼς, λαμπρᾷ τῇ φωνῇ ἐξωμολογεῖτο τῷ Σωτῆρι· διαπορεῖται τούτοις ὁ τύραννος, καὶ ποίῳ τρόπῳ περιέσται τοῦ Παντολέοντος διεσκοπεῖτο. ὑποβληθεὶς οὖν, λίθον μὲν μέγαν κατὰ τοῦ τραχήλου δεσμεῖν, κατὰ τοῦ πελάγους δὲ τοῦτον ἀκοντίζειν παραγγέλλει· ἀλλ᾽ οὐδ᾽ οὕτως ἐγκατέλειπεν αὐτὸν ὁ Κύριος· τὸν

(α) Τὸ Ρ. ἔχει « πρὸς ».
(β) Τὸ Χ. « κατακαῆναι ».
(γ) Τὸ Χ. « ἔσβη ».



αὐτὸν δὲ τρόπον ἐπιφανείς, τὸν λίθον μὲν οἷα φύλλον ἐπιπολάζειν τοῖς ὕδασι προσέταξε, τὸν αὐτοῦ δὲ δέσμιον χειραγωγῶν, ὢ τῆς ὑπερφυοῦς ἐκείνης καὶ ξένης ὁδηγίας! σωζόμενον κατῆγεν ἐπὶ τῆς ἀκτῆς· ὢ τῶν θαυμασίων! ὢ τῶν καινοπρεπῶν τεράτων! Πέτρος μὲν ἐκεῖνος ὁ κορυφαῖος τῶν Ἰησοῦ Μαθητῶν, τὸν Κύριον καὶ διδάσκαλον ἐπὶ τῶν ὑδάτων πεζεύοντά ποτε θεασάμενος, καὶ παρακαλέσας πρὸς αὐτὸν ἐλθεῖν καὶ ἐπιτραπεὶς, μόλις οὕτω κατετόλμησε τῆς ὑγρᾶς, ἵνα καὶ τὸν δισταγμὸν καὶ τὸν διὰ τούτου φόβον παρῶ.

Σὺ δὲ, ὦ τρισμακάριστε καὶ θαυμασιώτατε (α) τῶν ἀθλοφόρων, οὐ μόνον ἐπὶ τοῦ πελάγους αὐτὸς ὡς ἐπὶ ξηρᾶς ἀδιστάκτως καὶ ἀφόβως περιπατεῖς, ἀλλὰ καὶ τὸν προσδεδεμένον σοι βαρὺν λίθον, οἷα πτερὸν ὄρνιθος ἐπισυρόμενος, οὐ τοῖς τότε μόνον ἀπίστοις καὶ ἀσεβεστάτοις τοῦ Χριστοῦ σου τὴν δύναμιν παρέδειξας, ἀλλὰ καὶ πάσαις ἑξῆς γενεαῖς τῶν ἀνθρώπων τῆς τε παντοδυνάμου δεξιᾶς καὶ τῆς σῆς μαρτύριον πίστεως τὸν λίθον ἐκεῖνον ἀνεστήλωσας. Τούτοις ὁ ἀνήμερος θὴρ ἐκεῖνος ὑπερβαλλόντως κατανικηθείς, θῆρας ἀγρίους πολλοὺς καὶ δεινοὺς κατὰ τοῦ ἀθλοφόρου συναγείρει· ἀλλὰ καὶ οὕτως, αὐτοῦ μὲν ἡ ἧττα λαμπρὰ, τοῦ Χριστοῦ δὲ καὶ τῆς τοῦ Ἁγίου πίστεως ἡ νίκη περιφανεστάτη ἐνδείκνυται καὶ λαμπροτάτη· καὶ γὰρ ὁ τῇ θαλάσσῃ τῆς οἰκείας φύσεως πρότερον ἐντειλάμενος ἐπιλαθέσθαι, καὶ σωμάτων ἀντιτυπίαν καὶ βαρύτητα ἀκατάποτον ἐπὶ τῶν αὐτῆς νώτων ὀχεῖν, ἢ ὁ τοῖς κατὰ τὸν μέγαν ἐκεῖνον Δανιὴλ πάλαι λέουσιν ἐμφράξας τὰ χάσματα, ὥστε τῶν προφητικῶν μὴ θίγειν σαρκῶν, οὕτω καὶ νῦν τὰς κατὰ τοῦ μάρτυρος ἐπέσχε τῶν ἀτιθάσσων ὁρμὰς, μᾶλλον δὲ οὐ τὴν φυσικὴν αὐτῶν ἀγριότητα μόνον ἐτιθάσευσεν, ἀλλὰ καὶ πρὸς ἔλεγξιν πλείω τῆς τῶν ἀνθρώπων θηριωδίας καὶ ὠμότητος, φιλοστοργίαν τινὰ τούτοις ἐπὶ τοσοῦτον ὑπὲρ τοῦ οἰκείου θεράποντος ἀνίησιν, ὥστε περιπαθῶς αὐτῷ προσιέναι καὶ προσκυνεῖν, καὶ ποῖον πρῶτον (β) τοὺς αὐτοῦ πόδας ἀσπάσασθαι διαμιλλᾶσθαι πρὸς ἄλληλα καὶ φιλονικεῖν. Τίς οὖν οὐκ ἐξεπλάγη τὸ μέγα τοῦτο θεώματος θέαμα; τίνος οὐκ ἐτάκησαν ἔνδοθεν φρένες; τίνος οὐκ ἐξέστη καρδία, λέοντας ὁμοῦ καὶ παρδάλεις ὁρῶντος καὶ ἄρκτους πίπτοντας ἐπὶ γῆς, καὶ πόδας ἱεροῦ παιδὸς περιλείχοντας; τίς οὕτως ἰδὼν, οὐ μεγάλῃ τῇ φωνῇ τὸν Χριστὸν ἀνύμνει, «τὸν ποιοῦντα μεγάλα τε καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, κατὰ τὸ λόγιον, ὧν οὐκ ἔστιν ἀριθμός»; ἀλλ᾽ οὐδὲν τούτων εἰς αἴσθησιν ἦγε Μαξιμιανὸν, ζήλῳ δὲ πυρπολούμενος μανικῷ, τά τε θηρία, τά τε τῶν πιστευόντων πλήθη μαχαίραις ἐξεκέντησε· ψυχὴ

(α) Λείπει ἐκ τοῦ Ρ. τὸ « καὶ θαυμασιώτατε ».
(β) Τὸ Ρ. « τρόπον ».

γὰρ ὑπερβαλλόντως Θεοῦ ἀποστατήσασα, καὶ εἰς ἔσχατον ἀπονοίας τῆς ἄκρας ὑπερηφανίας καταντήσασα, ἀνίατα λοιπὸν ἀσεβεῖ, καὶ ἀναξία μετανοίας καὶ σωτηρίας γενομένη, εἰς ἐσχάτην θανάτου καὶ ἀπωλείας παρασκευάζεται καταστροφήν. Ἐντεῦθεν καθείργνυται μὲν ὁ μακάριος ἐν εἱρκτῇ, τροχὸς δὲ αὐτῷ παμμεγέθης ἑτοιμάζεται· ἐπεὶ δ᾽ οὖν τὸ μηχάνημα κατέστη, εἰς τὸ θέατρον τοῦτον ἀνάγουσι, τήν τε ἑαυτῶν ὕβριν καὶ τὴν δόξαν θεατρίζοντες τοῦ Χριστοῦ· ὡς μόνῳ γὰρ τῷ μαγγάνῳ τὸν δίκαιον προσδεδεκότες ἐπικατακυλίειν ἐπειρῶντο, λύεται μὲν ἐξαπίνης ὁ ἅγιος, καὶ ἀοράτῳ τοῦ Ὑπεραγίου σώζεται δεξιᾷ, κατακυλισθεὶς δὲ ὁ τροχὸς, τοὺς περὶ αὐτὸν διαπονουμένους πάντας ἀνεῖλεν ἀσεβεῖς· οὕτω γινώσκεται Κύριος κρίματα ποιῶν, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν συλλαμβάνων τοὺς ἁμαρτωλούς· καὶ τὸν ὀρύσσοντα μὲν τῷ πλησίον βόθρον, ἐμβάλλειν οἶδεν εἰς αὐτὸν, ῥύεσθαι δὲ ἐκ τοῦ πειρασμοῦ εὐσεβεῖς. Ἐντεῦθεν καὶ τὰ κατὰ τὸν ἱερὸν Ἑρμόλαον καὶ τοὺς σὺν αὐτῷ Ἕρμιππόν τέ φημι καὶ Ἑρμοκράτην, γνωστὰ γίνεται τῷ Μαξιμιανῷ, οὓς μεταστειλάμενος ἐκεῖνος ἐπείραζεν, ὢ τῆς ἀνοησίας! Θεοῦ μὲν ζῶντος ἀποστατεῖν, ξοάνοις δὲ νεκροῖς προστίθεσθαι· τῶν δὲ μόνον εἰδέναι Θεὸν ἀνωμολογηκότων τὸν Χριστὸν, ἄλλον δὲ μήτ᾽ εἶναι, μήτε καταδέχεσθαι προσκυνεῖν διϊσχυριζομένων, τοὺς μὲν ἐπὶ πλεῖον ὁ ἐναγὴς τιμωρησάμενος, πρώτους διὰ ξίφους ἀνέπεμψε τῷ Χριστῷ (α)· μετὰ δὲ ταῦτα τὸν ἱερομάρτυρα τοῦ Θεοῦ παῖδα μετακαλεσάμενος, καὶ πολλαῖς μὲν κολακίαις καὶ ὑποσχέσεσι δωρεῶν, (β) πολλαῖς δὲ ἀπειλαῖς ἐκλύειν αὐτοῦ τὸν τόνον καὶ ἐκμοχλεύειν μηχανώμενος, ἐπειδὴ πανταχόθεν ἀνένδοτον καὶ πέτρας αὐτὸν κραταιότερον ἑώρα, μάστιξιν ἐντόνως καταικισάμενος, κεφαλικὴν ἀποφαίνεται τιμωρίαν κατ᾽ αὐτοῦ.

Τοίνυν λαβὼν τὴν ἀπόφασιν ὁ ἀθλοφόρος, καὶ ἀφάτου μὲν χαρᾶς τὴν ψυχὴν, αἰνέσεως δὲ Θεοῦ τὸ στόμα πλησθεὶς, εἰς τὸν προκείμενον αὐτῷ τῆς ἀθλήσεως ἐξῄει τόπον· οὗ γενόμενος, θαυματουργεῖ τῶν προτέρων οὐκ ἔλαττον· παίει μὲν γὰρ αὐτὸν εἷς τῶν δημίων τῷ ξίφει κατὰ τοῦ τραχήλου, ἀντέστραπτε δὲ τὸ σιδήριον, ἥκιστα τούτου προσαψάμενον. Τί οὖν; τρόμος λαμβάνει τοὺς φονευτὰς, πιστεύουσιν αὐτίκα Χριστῷ, προσπίπτουσι τῷ παιδὶ τοῦ Θεοῦ, ἄφεσιν αἰτοῦντες τῆς τόλμης τῆς εἰς αὐτόν· καὶ ὃς ἑτοίμως ἀφίησι· καὶ οὐκ αὐτὸς συγχωρεῖ μόνον, ἀλλὰ καὶ παρὰ Χριστοῦ τούτοις συγχώρησιν ἐξαιτεῖται, καὶ οὐ περὶ αὐτῶν μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου ψυχῆς τε καὶ σώματος σωτηρίαν ἐξαιτεῖ· ἀλλὰ καὶ θεόθεν ῥηγνυμένης πρὸς αὐτὸν ἀκούει φωνῆς, καὶ τῶν αἰ-

(α) Τὸ Χ. « τῷ Θεῷ ».

(β) Ἐλλείπει ἐκ τοῦ Ρ. τὸ « καὶ πολλαῖς μὲν κολακείαις καὶ ὑποσχέσεσι δωρεῶν ».



τουμένων τὴν πλήρωσιν εὐαγγελίζεται. Ναὶ δὴ καὶ τοῦ φιλανθρώπου τῆς ψυχῆς τρόπου, καὶ τῆς ἐλεήμονος περὶ πάντας διαθέσεως, οἷόν τι γέρας ἐξαίρετον, τὴν μεγαλοπρεπῆ τοῦ ὀνόματος ἄνωθεν εἴληφεν ἀμοιβήν· καὶ τὸ μηκέτι Παντολέοντα τοῦτον, θεωνυμικῶς δὲ Παντελεήμονα πρὸς ἁπάντων ὀνομασθῆναι χρηματίζεται· καὶ οὕτως ἀποτέμνεται μὲν τὴν ἱερὰν κεφαλὴν, γάλα δὲ ἀντὶ αἵματος ἐρρυηκέναι φασίν· ἔνδειξις, οἶμαι, τοῦτο καθαρότητος τῆς αὐτοῦ, καὶ φωτοφανείας τῆς ψυχῆς· καὶ ἱερουργεῖται μὲν ἐντεῦθεν τὸ πανάγιον σῶμα πυρὶ, ἡ παντελεήμων δὲ καὶ τρισολβία ψυχὴ, τῶν οὐρανίων ἀναπεπταμένων πυλῶν, πάσης δὲ χοροστασίας Ἀγγέλων, πάσης δυνάμεως καὶ ταξιαρχίας νοερᾶς καὶ ὑπερκοσμίου προηγουμένων, ἑπομένων, δορυφορούντων, ὑμνούντων τε καὶ χορευόντων ἁπάντων, καὶ ὑπερφυῶς εὐφραινομένων, καὶ τὴν πρὸς τὸν Πατέρα τῶν φώτων εἴσοδον ὁδοποιούντων καὶ δεξιουμένων, αὕτη χαρίεσσα, ἐστεφανωμένη καὶ δεδοξασμένη τῷ νικοποιῷ καὶ βραβευτῇ παρέστη Χριστῷ· Τοιγαροῦν προσαγορεύω σε τὴν ἠγαπημένην τῷ ὄντως ἀγαπητῷ κεφαλήν.

Χαῖρε τέκνον Θεοῦ Πατρὸς ἀμώμητον καὶ ἀμίαντον, μάρτυς Ἰησοῦ Χριστοῦ, γλυκύτατε (α), σοφώτατε καὶ πιστότατε, θεράπων τοῦ Παρακλήτου δραστικώτατε καὶ θερμότατε. Χαίροις τὸ ἥδυσμα καὶ ἀγλάϊσμα τῶν θείων νόων, ὁ φίλτατος τοῖς Ἀποστόλοις καὶ τοῖς Ἁγίοις, αἰδεσιμώτατος Προφήταις. — Ὁ τοῖς ἀκροτάτοις καὶ πρώτοις τῶν Ἀθλοφόρων ἰσοστάσιος, ὡς οὔτε τοῖς παθήμασι καὶ ταῖς ὁμολογίαις, οὔτε σημείοις θείοις καὶ τέρασι, τὰ δευτερεῖά τινος ἀπενεγκάμενος. Χαῖρε, ὅτι μόνος ἐκ πάντων Ἁγίων (β) ἐτιμήθης τῇ θεωνυμίᾳ· μόνος παντελεήμων κατὰ φύσιν ὁ ὑμνούμενος Ἀγαθὸς, (γ) μόνος Παντελεήμων κατὰ μετουσίαν, διὰ τὴν ὑπερβολὴν δηλαδὴ τῆς μιμήσεως πρὸς τοῦ φύσει παντελεήμονος ἀνηγορεύθης. Χαῖρε, ὅτι νενίκηκας τὸν κόσμον ἐν τῷ Χριστῷ, σίδηρον ἤμβλυνας, πῦρ ἐμάρανας, θάλασσαν ὑπέταξας, θῆρας ἡμέρωσας, τροχὸν ἐξουδένωσας, καὶ πᾶσαν τοῦ τυράννου κατήργησας μηχανήν· καὶ νῦν στεφανίτης παριστάμενος ἐν οὐρανοῖς τῷ Χριστῷ, μνήσθητι κἀμοῦ δέομαί σου καὶ ἐπίσκεψαι καὶ ἴασαι πᾶσαν νόσον ψυχῆς ὁμοῦ καὶ σώματος, περίελε τὸν ὀνειδισμὸν, περίελε τὸ σκότος ἡμῶν, ὡς τοῦ μεγάλου καὶ ἀληθινοῦ καὶ πρώτου φωτὸς ἔγκονος πεφηνὼς ἐν αὐτῷ Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν (δ)· Ὧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

(α) Ἐλλείπει ἐκ τοῦ Χ. « γλυκύτατε ». (β) Τὸ Ρ. « ἁπάντων τῶν Ἁγίων ».

(γ) Ἐλλείπουσιν ἐκ τοῦ Ρ. τὰ ἀπὸ τοῦ « μόνος ἐκ πάντων » μέχρι τοῦ « ἀγαθὸς ».

(δ) Τὸ Ρ. « τῷ Χριστῷ Κυρίῳ ἡμῶν ».

## ΕΤΕΡΟΝ ΕΓΚΩΜΙΟΝ

εἰς τὸν ἅγιον

# ΠΑΝΤΕΛΕΗΜΟΝΑ.

*Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν.*
(Ἰωάν. Κεφ. ΙΕ'. 18).

Καὶ πολλὰ καὶ μεγάλα τὰ αἴτια, ὁποῦ στενοχωροῦν τὴν καρδίαν μου, παρακινοῦν τὴν γλῶσσαν νὰ τιμήσω τὸν Παντελεήμονα κἂν μὲ ψιλοὺς λόγους· αὐτὸν, ὁποῦ ἐτίμησεν ἡ ἁγία Τριὰς, ἐδόξασαν οἱ Ἄγγελοι, ἐστεφάνωσεν ὅλος ὁ οὐρανός· ὡσὰν ὁποῦ ἐστάθη τὸ καύχημα τῶν Μαρτύρων, ὁ διαφεντευτὴς τῆς ὀρθοδοξίας, ἡ παρηγορία καὶ ἀναψυχὴ τῶν τότε καὶ νῦν Χριστιανῶν. Πολλὰ, λέγω, μοῦ βιάζουν τὴν γλῶτταν νὰ κινηθῇ εἰς τὴν ἑορτὴν τοῦ τοιούτου μάρτυρος, καὶ τῆς νεότητός του τὸ ἄνθος, τὸ ὁποῖον δὲν ἐψήφισε, καὶ τὰ φρικτὰ καὶ πολλὰ μαρτύρια ὁποῦ ὑπέμεινε, καὶ ἡ ἀνυπόφορος ἀγριότης τοῦ τυράννου ἐκείνου, μὲ τὸν ὁποῖον ἀντιπάλευε. Μιμεῖται τὰ τέσσαρα ἐκεῖνα ζῶα ὅπου εἶδεν Ἰεζεκιὴλ (Κεφ. Α'), τῶν ὁποίων αἱ πτέρυγες ἦσαν ἐκτεταμέναι εἰς τὰ ἄνω· τύπος τῶν μαρτυρικῶν ἀνδραγαθημάτων αἱ πτέρυγες· ἄνω βλέπουσιν, ὅτι εἰς τὸν οὐρανὸν μὲ αὐτὰς πέτονται, ἀπὸ τὸν ὁποῖον οὐρανὸν καὶ λαμβάνουσι τὸν ἔπαινον. Ἤκουσε τὴν προσταγὴν τοῦ Θεοῦ οὗτος ὁ Μάρτυς, ὅπου ἐπρόσταξε τὸ θυσιαστήριόν του νὰ οἰκοδομηθῇ μὲ πέτρας ἀπελεκήτους, «οὐκ ἐπιβαλεῖς ἐπ' αὐτῷ σίδηρον, λίθους ὁλοκλήρους οἰκοδομήσεις.» Θυσιαστήριον τοῦ Θεοῦ οἱ μάρτυρες, τὰ ἔργα, τὰ μαρτύρια, τὰ ἀνδραγαθήματα· οἱ λίθοι τοῦ μυστικοῦ τούτου θυσιαστηρίου δὲν χρειάζονται ῥητορικὸν κάλαμον νὰ ἐγγίξῃ ἐπάνω τους· αὐτοφυῆ, καθὼς ἔγιναν, οὕτω θέλουσι νὰ εὑρίσκωνται. Τὰ ἐπίπλαστα νενοθευμένον ἔχουσι τὸ κάλλος εἰς τοὺς ὀφθαλμοὺς τῶν ἀνθρώπων, ἀλλ' ὄχι εἰς τὸν Θεὸν φαίνονται εὔμορφα· κατὰ τὸ ἐξωτερικὸν πρόσωπον γλύφονται οἱ λίθοι τῶν τάφων, ἔσωθεν εἶναι ἀπελέκητοι, ἀχρεῖοι, ὅτι καὶ ὀστέα γυμνὰ περικλείουσιν ἀνθρώπων οὐτιδανῶν· διὰ τοῦτο ἂς μὴν ἐγγίζῃ σίδηρος, καὶ ὁ Θεὸς προστάζει, καὶ μάρτυρες δὲν τὸ θέλουσιν. Εὐγλωττία καὶ ἐξωτερικὸς ἔπαινος εἰς τὰ ὑπερφυῆ ἔργα

ΙΟΣ ΒΙΒΛ
ΚΤΗΤΟΡΗΣ ΠΑΠΑ



τῶν Μαρτύρων δὲν χρειάζονται, μόνη ἡ ἄκτιστος Σοφία εἶναι ἀρκετὴ νὰ τιμήσῃ τοιούτους πιστοὺς δούλους· περιττὸς ὁ ἔπαινος τῶν συνδούλων· μεγάλον τοῦτο ἐμπόδιον διὰ νὰ κλείσῃ τὸ στόμα καθενὸς, ὅμως τολμηρὸν ἡ ἀγάπη, ἀπόκοτον ἡ εὐλάβεια· καὶ διὰ τοῦτο δὲν εἶναι παράδοξον νὰ κάμωμεν καὶ ἡμεῖς μίαν ψιλὴν διήγησιν τῶν μεγάλων ἀνδραγαθημάτων τούτου τοῦ Μάρτυρος, καὶ μάλιστα ὁποῦ ἠξεύρω, ὅτι οὐδὲ τὸ πλάτος τούτου τοῦ οὐρανοῦ καὶ τὸ κάλλος δὲν σμικρύνεται, ἀνίσως καὶ παραμικρὸν χέρι τὸ περιγράψῃ ἐπάνω εἰς ἕνα χαρτί. Οἱ πολύτιμοι λίθοι δὲν μεταβάλλονται εἰς μόλυβδον, τριβόμενοι ἀπὸ χέρι ἑνὸς ἀχρείου τεχνίτου, οὐδὲ ἡ θάλασσα ἀποστρέφεται τὸ μικρὸν δόσιμον τῶν ποταμῶν· τὸ γνωρίζω πῶς ὅλοι οἱ κάλαμοι δὲν εἶναι ἐπιτήδειοι νὰ ζωγραφίζουν Ἀλεξάνδρους, ὅμως εἶδα ἐπάνω εἰς λίθον μικρὸν δακτυλιδίου σώματα γιγάντων γεγραμμένα. Ἠξεύρω πῶς εἶναι τολμηρὸν, πῶς μὲ ἀνοικτοὺς ὀφθαμοὺς νὰ βλέπῃ τινὰς τὸν Ἥλιον, μόλον τοῦτο οὐδὲ τὸ μικρὸν σκότος, οὔτε τὸ λεπτὸν σύννεφον, οὐδὲ τὰς ἀναθυμιάσεις ἀποστρέφεται ὁ αὐτὸς Ἥλιος· ὡσὰν ὁποῦ τοῦ δίδουν ἀφορμὴν νὰ γνωρίζουν οἱ ἄνθρωποι τὴν λαμπρότητα τῶν ἀκτίνων του περισσότερον, ὄχι περισσότερον ἀπὸ ἐκεῖνο ὁποῦ εἶναι, ἀλλ' ἀπ' ἐκεῖνο ὅπου δὲν δύνανται νὰ γνωρίζουν. Λοιπὸν μιμοῦμαι κἀγὼ σήμερον τὸν ἀέρα, ὅπου δὲν κρύπτει τὸ φῶς ὅπου τοῦ χαρίζει ὁ Ἥλιος, ἀλλὰ τὸ διασπέρνει εἰς τὴν γῆν· ἀποτολμῶ νὰ φανερώσω τὸν ἔλεον καὶ τὴν χάριν τούτου τοῦ πάντας ἐλεοῦντος, καὶ ζῶντος καὶ μετὰ θάνατον. Ἀνίσως καὶ ἦτον συγχωρημένον νὰ στολίσω μὲ ἐξωτερικοὺς ἐπαίνους ἐκείνους ὅπου στολίζουν τὰ προαιρετικὰ καὶ ἰδικά τους ἔργα, ἤθελα εἰπῇ σήμερον καὶ διὰ τοῦτον τὸν Μεγαλομάρτυρα, πῶς ὄχι μόνον τὰ ἔργα του εἶναι ἀξιέπαινα, ἀλλὰ καὶ ἡ πατρὶς ἀξιοθαύμαστος. Καὶ τίς δὲν ἠξεύρει, ὅτι ἡ Νικομήδεια ἐστάθη ἡ πρώτη πόλις ἀνάμεσα εἰς τὰς ἄλλας, ὅπου καυχᾶται καὶ σεμνύνεται ἡ Βιθυνία; τίς δὲν τὸ ἤκουσεν, ὅτι αὐτὴν τὴν πόλιν ὄχι μόνον ἐστόλισε μὲ εὐκρασίαν ἀέρος ἡ φύσις, μὲ λιμένας λαμπροὺς, μὲ πλουσιότητα τῶν ἀναγκαίων, καὶ μὲ ὅσην ἄλλην καρποφορίαν καυχᾶται ὁ Νεῖλος πῶς στολίζει τὴν Αἴγυπτον; ἀλλὰ καὶ οἱ Βασιλεῖς τῆς γῆς αὐτὴν ἐδιάλεξαν διὰ θρόνον τῆς ἰδικῆς των μεγαλειότητος· — ἐξωτερικὰ τοῦτα τὰ προτερήματα τῆς Νικομηδείας· — τὸ μεγαλήτερον, διὰ τὸ ὁποῖον πρέπει νὰ ἦναι περιβόητος, εἶναι τοῦτο, πῶς ἐστάθη μήτηρ τῶν Μαρτύρων, καὶ ἐγέννησε πολλοὺς, καὶ ἀκόμη ἔχει ἐν ταῖς ἀγκάλαις της ὡς θησαυρούς. Ὅθεν θέλεις ἰδῇ τὸ πρόσωπόν της ὅπου νὰ λάμπῃ ὄχι ἀπὸ ἐξωτερικὸν καὶ ἐπίπλαστον κάλλος, ἀλλὰ ἀπὸ αὐτὸ τὸ αἷμα τῶν Μαρτύρων, καὶ διὰ τοῦτο ἐπαινετὴ, ὄχι ἀπὸ γλώσσας ῥητόρων, ὅπου διὰ φιλοπροσωπίαν κρύπτουν πολλάκις τὴν ἀλήθειαν, ἀλλ' ἐπαινεῖται καθεκάστην καὶ ἀναμιμνήσκεται ἀπὸ αὐτὴν τὴν Νύμφην τοῦ Χριστοῦ, τὴν Ἐκκλησίαν τῶν Ὀρθοδόξων,

ὡσὰν ὅπου δὲν ἀνατέλλει ἡμέρα νὰ μὴ τὴν λαμπρύνουν μαρτυρικὰ αἵματα τῆς Νικομηδείας. Πλὴν ἀνάμεσα εἰς ὅλους ἔχει λαμπρότερον, ὡσὰν ὁ οὐρανὸς τὸν Ἥλιον ἀνάμεσα εἰς τοὺς ἄλλους ἀστέρας, τὸν Παντελεήμονα. Τοῦτον, ὅπου καὶ ἐγέννησε καὶ ἀνέθρεψε, καὶ καυχᾶται περισσότερον εἰς τὸν τάφον αὐτοῦ καὶ τὰ μαρτύρια, παρὰ εἰς τὰ βασιλικὰ παλάτια. Δὲν πρέπει, λέγω, νὰ ἐξοδεύεται ὁ καιρὸς τῆς ἑορτῆς τῶν μαρτύρων εἰς τοὺς ἐπαίνους τῶν προγόνων τους· κατ' ἄλλον τρόπον, ὁ πατὴρ τούτου Εὐστόργιος, καὶ ἡ μήτηρ του Εὐβούλη, ἥτις ἦτον ἐξ ἀρχῆς εὐσεβής· ὁ δὲ πατὴρ δὲν ἐχρειάσθη ἄλλον ὁδηγὸν νὰ ἔλθῃ εἰς τὴν εὐσέβειαν, παρὰ τὴν διδασκαλίαν καὶ παρακίνησιν τοῦ υἱοῦ, διὰ νὰ ἦναι ὁ Παντελεήμων ὄχι μόνον εὐργέτης εἰς τοὺς ἄλλους, ἀλλὰ καὶ εἰς τὸν ἴδιον πατέρα, ὄχι μόνον ἰατρὸς τῶν σωμάτων, ἀλλὰ πολλῷ μᾶλλον καὶ τῶν ψυχῶν, καὶ αὐτὸ ἦτον ἡ ἀρχὴ τῆς αἰτίας τοῦ μαρτυρίου του, ἡ συμπαθητικὴ γνώμη καὶ ὁ πολὺς ἔλεος, ὅπου ἔδειχνεν εἰς τοὺς ἀσθενεῖς· ἀπὸ αὐτὴν παρακινούμενος, εὑρίσκει μέσα εἰς τὸν δρόμον νέον πληγωμένον ἀπὸ ὄχενδραν, καὶ παντάπασι νεκρὸν, ἐπικαλεῖται τὸ παντοδύναμον ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καταφρονήσας Ἱπποκράτους καὶ Γαληνοῦ τοὺς ὅρους καὶ ἰατρικὰ, καὶ παρευθὺς ἀνίσταται ὁ νεκρός· βλέπει ἡμέραν ἀναστάσεως ψυχῆς καὶ σώματος· γνωρίζει, μανθάνει καὶ τὴν εὐσέβειαν, καὶ τὴν παντοδυναμίαν τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ· γίνεται κήρυξ καὶ τῆς παραδόξου ἰατρείας καὶ τῆς εὐσεβείας τοῦ Παντελεήμονος. Φθάνει τὸ θαῦμα ἕως εἰς τὰ ὦτα τοῦ Μαξιμιανοῦ βασιλέως, ἐκείνου τοῦ ὀνομαστοῦ κατά τὴν ἀσέβειαν, καὶ περιβοήτου κατὰ τὴν εἰδωλολατρείαν, καὶ παρευθὺς προσκαλεῖ τὸν Παντελεήμονα. Ἔρχεται αὐτὸς ὁ καλὸς νέος μετὰ πολλῆς χαρᾶς καὶ προθυμίας, ἁρματωμένος ὄχι μὲ ὅπλα σιδηρᾶ, ἀλλὰ μὲ τὴν ἄμαχον δύναμιν τοῦ Ἰησοῦ Χριστοῦ. Ἀλλ' ὦ Θεέ! καὶ πῶς νὰ ἔβλεπα ἐκεῖνο τὸ φρικτὸν καὶ ἀξιοθέατον θέαμα, ἐκείνην τὴν ἀξιάκουστον πάλην, ὅπου ἔγινεν ἐκείνην τὴν ὥραν ἀνάμεσα εἰς βασιλέα καὶ δοῦλον; — εἶπα βασιλέα κατὰ τὴν κοινὴν συνήθειαν, ὄχι βασιλεὺς ὁ Μαξιμιανὸς, ἀλλὰ τύραννος, καὶ τῶν τυράννων ὁ φρικωδέστατος, τοῦ διαβόλου ἡ μάχαιρα, ἢ νὰ εἰπῶ καλλίτερον, ὁ τάφος καὶ τὸ κατοικητήριον αὐτοῦ, τῶν χριστιανῶν ὁ ἀδυσώπητος διώκτης. — Μὲ τοιοῦτον αἱμοβόρον λύκον, μὲ λυσσασμένον λέοντα, συνομιλεῖ, παλεύει ἕνα πρόβατον τοῦ Χριστοῦ μου γυμνὸν, ἀσθενές. Ἡ περικεφαλαία του δὲν εἶναι ἄλλο παρὰ πίστις· ἡ μάχαιρα, τὸ Πνεῦμα τὸ ἅγιον· καὶ ἐπάνω εἰς ὅλα ὁ Σταυρός. Ἀρχίζει ὁ Μαξιμιανὸς τὸν πόλεμον μὲ γλυκοὺς λόγους, μὲ ἀπατηλοὺς τρόπους, λέγων. Ἀκούω, Παντολέων, πῶς πιστεύεις εἰς Θεὸν, τὸν ὁποῖον ἡ βασιλεία μου οὔτε τὸν δέχεται οὔτε τὸν θέλει, καὶ διὰ τοῦτο σοῦ ἔπρεπε ταύτην τὴν ὥραν νὰ σοῦ χωρίσω τὴν



ζωὴν μὲ ἕνα δριμύτατον θάνατον, ἀλλὰ λυποῦμαι τὴν νεότητά σου, σπλαγχνίζομαι τὸ κάλλος σου, προβλέπω εἰς τὸ κοινὸν ὄφελος, ὅπερ δίδει ἡ ἰατρική σου, καὶ σοῦ δίδω καιρὸν νὰ συλλογισθῇς τὸ καλόν σου, σὲ συμβουλεύω νὰ προσκυνήσῃς τοὺς θεοὺς, οὓς προσκυνεῖ ἕνας βασιλεὺς ὡς ἐμέ· καὶ δι' αὐτὴν τὴν ὑπακοὴν θέλω ἀνοίξει τοὺς θησαυρούς μου νὰ σὲ πλουτίσω τόσον, ὥστε ὅπου νὰ μὴν ἔχῃς ἄλλον πλούσιον ἀνώτερόν σου, ἀλλὰ νὰ ἦσαι πρῶτος ὄχι μόνον εἰς τοὺς πλουσίους, ἀλλὰ καὶ εἰς τοὺς ἀξιωματικοὺς τῆς βασιλείας μου. Βλέπεις τούτους ὅπου στέκονται εἰς τὰ δεξιά μου; πόσους ἱδρῶτας ἐξώδευσαν! πόσους κινδύνους ὑπέμειναν διὰ νὰ ἀνέβουν εἰς αὐτὴν τὴν ἀξίαν! πλὴν ἀπὸ ἐσένα δὲν ζητῶ κανένα τέτοιον, ἀλλὰ μόνον θυσίαν νὰ κάμῃς εἰς τοὺς θεοὺς, καὶ παρευθὺς νὰ ἦσαι πρῶτος ἀνάμεσα εἰς τοὺς μεγιστᾶνας.

Δὲν τὸν ἄφησεν ὁ Παντολέων νὰ χαρῇ εἰς πολλὴν ὥραν τῆς κολακείας του τοὺς φαρμακεροὺς λόγους, ἀλλ' ἐν τῷ ἅμα θερμανθεὶς τῇ χάριτι τοῦ παναγίου Πνεύματος, παῤῥησίᾳ λέγει. Ἐγὼ, βασιλεῦ, Θεὸν Οὐρανοῦ καὶ γῆς δημιουργὸν προσκυνῶ καὶ πιστεύω· τοὺς δὲ θεούς σου, ὡς ἔργα χειρῶν ἀνθρώπων, καταφρονῶ, ἀποπτύω ὡς κωφὰ καὶ ἀναίσθητα ξόανα· ἀλλὰ καὶ ἐσένα, βασιλεῦ, σπλαγχνίζομαι, ἐλεῶ πῶς ἐμωράνθης τόσον νὰ καταφρονῇς βασιλέα οὐρανοῦ καὶ γῆς καὶ νὰ προσκυνῇς δαιμόνια· σὲ ταλανίζω πῶς φαντάζεσαι μὲ λόγους κολακευτικοὺς νὰ πλανέσῃς πλάσμα Θεοῦ νὰ προσκυνήσῃ ξόανα· θησαυροὺς μοῦ τάζεις, πράγματα φθαρτὰ καὶ πρόσκαιρα, διὰ νὰ μὲ ὑστερήσῃς ἀπὸ τὰ αἰώνια· μὲ τιμαῖς καὶ δόξαις πρόσκαιραις σπουδάζεις νὰ μὲ ὑστερήσῃς ἀπὸ τὴν μακαρίαν δόξαν τῶν δικαίων, τῆς ὁποίας ὅλος αὐτὸς ὁ κόσμος δὲν εἶναι ἀντάξιος· τί δῶρα, τί χαρίσματα εἶναι αὐτὰ, ὦ βασιλεῦ, ὅπου μὲ ὑπόσχεσαι, διὰ νὰ μὲ ὑστερήσῃς ἀπὸ τὰ μεγαλήτερα καὶ αἰώνια; τάξαι μου ἂν ἔχῃς ἄλλον οὐρανὸν, ὡσὰν ἐτοῦτον, ἄλλον παράδεισον, ὡσὰν ἐκεῖνον ὅπου ἐλπίζω, καὶ οὐδὲ τότε δὲνθέλεις μὲ ἰδεῖ νὰ κλίνω εἰς τὸ θέλημά σου· ὄχι! μὴ γένοιτο, Χριστὲ Βασιλεῦ, πλάστα καὶ εὐεργέτα τοῦ κόσμου, καὶ ἐμοῦ τοῦ ταπεινοῦ δούλου σου, νὰ ἀρνηθῶ ἐγὼ ποτὲ τὸ ὄνομά σου! ὄχι διὰ πλούτη, ὄχι διὰ φιλίαν βασιλέως γηΐνου, ὄχι διὰ δόξαν καὶ τιμὴν, ἀλλ' οὐδὲ δι' ὅλον αὐτὸν τὸν οὐρανὸν, δι' ὅλον αὐτὸν τὸν παράδεισον. Λοιπὸν, ὦ βασιλεῦ, μὴν ἀργοπορῇς, φύλαξον αὐτὰς τὰς ὑποσχέσεις καὶ τὰ πλούτη διὰ νὰ τιμήσῃς αὐτοὺς τοὺς πλανημένους ὅπου εἶναι τριγύρω σου· καὶ δι' ἐμένα ἑτοίμασαι τιμωρητικὰ ὄργανα· ἂς ἀκονισθοῦν τὰ ξίφη, ἂς ἀναφθῇ ἡ κάμινος, ἂς ἀναλυθῇ ὁ μόλυβδος, ἂς λυθοῦν τὰ θηρία, οἱ λέοντες, ἂς εὐτρεπισθῇ ὁ τροχός· ἕτοιμος εἶμαι εἰς πάντα μετὰ πολλῆς χαρᾶς διὰ τὴν ἀγάπην τοῦ γλυκυτάτου μου Ἰησοῦ· ἕτοιμος εἶμαι νὰ ἀναλυθῶ μέσα εἰς τὸ πῦρ, νὰ γίνω τροφὴ τῶν λεόντων, νὰ διαχωρισθῶ ἀπὸ τὰ ξίφη, νὰ σπείρω τὸ

αἷμά μου εἰς ὅλην αὐτὴν τὴν γῆν διὰ τὴν ἀγάπην ἐκείνου τοῦ ἀληθινοῦ Θεοῦ, ὅπου δὲν ἐλυπήθη νὰ χύσῃ τὸ αἷμά του ἐπάνω εἰς τὸν Σταυρὸν διὰ τὴν ἀγάπην τὴν ἰδικήν μου. Ἀκόμη δὲν εἶχε τελειώσει αὐτοὺς τοὺς λόγους τῆς εὐσεβείας ὁ Παντολέων, καὶ παρευθὺς ἀναβράζει ἀπὸ τὸν θυμὸν ὁ βασιλεὺς, ἀφρίζει τὸ στόμα, τρίζει τοὺς ὀδόντας, μαίνεται, φωνάζει ποῦ οἱ δήμιοι; ποῦ τὰ τιμωρητικὰ ὄργανα; καὶ παρευθὺς ἤθελες ἰδῆ τόσους λύκους ὅπου ὥρμησαν κατὰ τοῦ Παντελεήμονος, ἄλλος τὸν τύπτει εἰς τὸ στόμα μὲ λίθους, ἄλλος τὸν γυμνώνει, ἄλλος τὸν στρίφει ὀπίσω τὰς χεῖρας, ἄλλος τὰς δένει· ἁπλώνεται εἰς τὴν γῆν, ῥαβδίζεται τόσον, ὅσον νὰ πάρῃ ἀνασασμὸν ὁ βασιλεὺς ἀπὸ τὸν θυμὸν, ἔπειτα κρεμάζεται ἀπὸ τοὺς πόδας, ξεσχίζεται τὴν σάρκα μὲ ὄνυχας σιδηροὺς, κατακαίεται μὲ λαμπάδας, καὶ τοιούτης λογῆς ἡμιθανὴς, καταξεσχισμένος ὅλος, καϊμένος μέχρι καὶ αὐτοῦ τοῦ μυελοῦ, ῥίπτεται μέσα εἰς σκοτεινοτάτην φυλακήν. Ἤλπιζεν ὁ Μαξιμιανὸς, ὅτι ὁ Παντολέων ἔδωκε τέλος· πλέον δὲν εἶναι ἐλπὶς οὔτε διὰ ζωὴν, οὔτε διὰ νὰ δοκιμάσῃ ἄλλο μαρτύριον, ἀλλ' ὅταν ἤκουσε μετ' ὀλίγας ἡμέρας, ὅτι ὁ Παντελεήμων ὄχι μόνον ζῇ, ἀλλὰ οὐδὲ κανένα σημάδι ἔχει τῶν προτερινῶν πληγῶν, ὅλος ὑγιὴς, ὅλος λαμπρὸς, χαρούμενος ψάλλει καὶ ὑμνεῖ τὸν Θεὸν μέσα εἰς τὴν φυλακὴν, πάλιν ἐξάπτεται ἀπὸ τὸν θυμὸν, πάλιν φροντίδες, πάλιν μέριμναι τοῦ ταράττουσι τὴν καρδίαν. συλλογίζεται, συμβουλεύεται μὲ ποῖον τρόπον νὰ νικήσῃ τὸν ἀνίκητον. Μόλις τὸν σοφίζει ὁ πατήρ του διάβολος νὰ ἀναλύσῃ μόλυβδον, καὶ νὰ ῥίψῃ μέσα τὸν Μάρτυρα· ἑτοιμάζεται τὸ χάλκωμα, ἀνάπτει τὸ πῦρ, ἀναβράζει ὁ μόλυβδος, εὐγάζεται ἀπὸ τὴν φυλακὴν ὁ Παντελεήμων, ἔρχεται χαρούμενος ὡς νὰ ἐπήγαινεν εἰς νυμφικὴν παστάδα, δεσμεύεται χεῖρας καὶ πόδας, ῥίπτεται μέσα εἰς ἐκεῖνον τὸν μόλυβδον, προσμένει ὁ τύραννος ἢ βασιλεὺς νὰ ἀκούσῃ ὅτι ὁ Παντελεήμων ἀνέλυσεν ἀπὸ τὸ πῦρ, δὲν τοῦ ἀπέμεινεν ὄχι κρέας, ἀλλ' οὐδὲ κόκκαλον, καὶ μανθάνει ὅτι οὐδὲ τρίχα τοῦ Παντελεήμονος δὲν ἐβλάφθη ἀπὸ ἐκεῖνον τὸν ἀναβρασμένον μόλυβδον, ἀλλὰ πάλιν ὑγιὴς, ἐλεύθερος ἀπὸ τὰ δεσμὰ, ἀπὸ κάθε πόνον, ἀναπαύεται μέσα εἰς τὸ χάλκωμα τοῦ βρασμένου μολύβδου, ὡσὰν νὰ ἦτον ἐπάνω εἰς ῥόδα. Τοῦτο τὸ φοβερὸν ἄκουσμα πληγώνει πλειότερον τὴν καρδίαν τοῦ τυράννου, παρὰ τὸ μολύβι τὸν Μάρτυρα. Καὶ πάλιν προστάζει νὰ τοῦ δεθῇ λίθος μέγας εἰς τὸν τράχηλον καὶ νὰ ῥιφθῇ εἰς τὴν θάλασσαν· ἐδέθη ὁ λίθος, ῥίπτεται εἰς τὴν θάλασσαν, εἰς τὸ πέλαγος ὁ Μάρτυς, καὶ τὴν ἄλλην ἡμέραν εὑρίσκεται εἰς τὸ περιγιάλι ὑγιὴς, ἐλεύθερος, περιπατῶν χαρούμενος, ὡσὰν νὰ ἐπήγαινεν εἰς περιδιάβασιν· πάλιν δεσμεύεται, καὶ ῥίπτεται εἰς τὰ στόματα τῶν λεόντων, καὶ ἄλλων πολλῶν θηρίων, καὶ τότε ἐγνώρισαν πολλοὶ ὅτι ὁ βασιλεὺς εἶναι ἀγριώτερος ἀπὸ τὰς ἀσπίδας καὶ λέοντας· ἐπειδὴ ἡμερώ-



τερα ἐφάνησαν ἐκεῖνα εἰς τὸ μαρτυρικὸν ἐκεῖνο καὶ πολύαθλον σῶμα· ὅθεν ἀντὶς νὰ τὸ ξεσχίσουν τὸ ἐπροσκύνησαν καθὼς πρὸ τῆς παρακοῆς τὸν πρωτόπλαστον· καὶ ὁ Μαξιμιανὸς ἀντὶς νὰ ἔλθῃ εἰς αἴσθησιν, ἀντὶς νὰ γνωρίσῃ τὴν παντοδυναμίαν τοῦ Θεοῦ, ἑτοιμάζει τροχοὺς ἐστολισμένους μὲ πολλὰ ξίφη καὶ κοπτερὰ σίδηρα, δεσμεύει ἐπάνω εἰς ἐκεῖνα τὸν Μάρτυρα, ἀνεβάζει τοὺς τροχοὺς εἰς ἕνα βουνὸν ὑψηλὸν, καὶ ἀπὸ ἐκεῖ ἀφίνει τοὺς τροχοὺς νὰ ἔλθουν εἰς τὸ κάτω μέρος, οἱ ὁποῖοι καταβαίνοντες μὲ τόσην βίαν, τοὺς λίθους καὶ τὰ δένδρα ἐσύντριψαν, τὸ δὲ ἀδαμάντινον ἐκεῖνο σῶμα παντελῶς δὲν ἔβλαψαν· καὶ μόνον νὰ ἀκούῃ τις τοιαῦτα φοβερὰ μαρτύρια τοῦ ῥαγίζεται ἡ καρδία, πολλῷ μᾶλλον νὰ τὰ ἰδῇ· ὁ δὲ Μαξιμιανὸς καὶ ἔβλεπε καὶ ἔπραττεν, ἀλλὰ τετυφλωμένος παντάπασιν ἀπὸ τὸν διδάσκαλόν του τὸν Διάβολον, οὔτε εἰς αἴσθησιν ἦλθεν, οὔτε ἔφριξε τοῦ Θεοῦ τὰ θαυμάσια· ἀλλ' ἐπειδὴ καὶ νὰ ἐκουράσθη μὲ τὸ νὰ ἀπέκαμεν ἀπὸ τοῦ νὰ ἐφευρίσκῃ καὶ νὰ τεχνεύηται τιμωρητικὰ ὄργανα, προστάζει τελευταῖον νὰ κοπῇ ἡ κεφαλὴ τοῦ Παντελεήμονος μὲ τὸ ξίφος. Ἔρχεται ὁ δήμιος, κτυπᾷ μὲ τὸ σπαθὶ, καὶ ἀντὶς νὰ κόψῃ τὸν ἀδαμάντινον ἐκεῖνον λαιμὸν, λυγίζει τὸ σπαθὶ ὡσὰν μολύβι· πιστεύει εἰς τὸν Χριστὸν ὁ σφαγεὺς, καὶ ἄλλοι πολλοὶ συνακόλουθοί του στρατιῶται· τοὺς στηρίζει εἰς τὴν ἁγίαν πίστιν ὁ Μάρτυς, ἔπειτα κλίνει μόνος του τὴν κεφαλὴν κατὰ μίμησιν τοῦ ἠγαπημένου του Δεσπότου, καὶ τότε ἀντὶς νὰ εὐγάλῃ αἷμα ἔτρεξε γάλα, καὶ εὐθὺς χωρίζεται ἡ παναγία του ψυχὴ ἀπὸ τὸ σῶμα. Τοιοῦτον φρικτὸν καὶ φοβερὸν ἐστάθη τὸ μαρτύριον τοῦ Μεγαλομάρτυρος Παντελεήμονος, ὄχι καθὼς ὁ λόγος τὸ ἐπαράστησε μὲ τόσην συντομίαν, ἀλλὰ κατὰ πολλὰ ἀσυγκρίτως φρικωδέστερον καὶ τρομερώτερον, τὸ ὁποῖον νὰ διηγηθῇ γλῶσσα ἀνθρώπινος ἀδυνατεῖ, καὶ ὁ νοῦς νὰ τὸ χωρέσῃ τῶν ἀνθρώπων δὲν δύναται· τόσον φοβερὰ, τόσον ὑπὲρ φύσιν ἐστάθηκαν ἐκεῖνα τὰ φοβερὰ μαρτύρια· ἀλλ' ἐπειδὴ τὰ ἐπερίγραψαν εἰς πλάτος πολλοὶ ἀξιόπιστοι ἄνδρες, διὰ τοῦτο ἐγὼ ἐσιώπησα, καὶ μόνον τοῦτο ἤθελα νὰ ἐνθυμηθοῦν, ὅσοι ἑορτάζουν σήμερον τοῦτον τὸν Ἅγιον, πόση χαρὰ ἐπεριχύθη εἰς τὰς καρδίας ἐκείνων τῶν χριστιανῶν ὅπου εὑρέθησαν τότε, ὅταν εἶδαν ἀντὶς δι' αἷμα νὰ τρέχῃ γάλα ἀπὸ ἐκεῖνο τὸ σῶμα· πόσην παρηγορίαν ἔλαβαν ὅταν εἶδαν τὴν ἐλαίαν ἐκείνην εἰς τὴν ὁποίαν ἐδέθη ὁ Ἅγιος, ἥτις παρευθὺς ἐγέννησε καρπούς· ἀνεκδιήγητος ἐκείνη ἡ χάρις, καθὼς καὶ τὰ θαύματα καὶ αἱ ἰατρεῖαι ψυχῶν καὶ σωμάτων, ὅπου μετὰ ταῦτα ἔτρεξαν ἀπὸ ἐκεῖνον τὸν πανσεβάσμιον τάφον τοῦ Μάρτυρος.

Αὐτὰ ὅλα ἐγὼ τὰ ἀποσιωπῶ, καὶ τοῦτο μόνον ἐπιθυμῶ νὰ ἐρωτήσω τοὺς πανηγυρίζοντας σήμερον τοῦτον τὸν ἀήττητον Μάρτυρα. τάχα δὲν ὀρέγεται ἡ καρδία των νὰ τιμήσουν καὶ αὐτοὶ μὲ κανένα σημάδι εὐλαβείας τοῦτον, ὅπου ἐτίμησε τόσον ἡ ἁγία Τριὰς, ὥστε ὁποῦ τὸν ἔδειξε παν-

τοδύναμον ὄχι μόνον κατὰ τῆς κεφαλῆς τοῦ Μαξιμιανοῦ, ἀλλὰ καὶ κατ'
αὐτοῦ τοῦ Διαβόλου; ὅθεν καὶ αὐτὰ τὰ στοιχεῖα ἐφάνησαν ἀνενέργη-
τα ἔμπροσθεν τοῦ Παντελεήμονος, ἔπαυσε τὸ πῦρ τὴν φυσικήν του
καυστικὴν δύναμιν, ἡ γῆ τὴν βαρύτητα, ἡ θάλασσα τὴν ὑγρότητα, καὶ
τὰ θηρία τὴν ἀγριότητα ἐμπροστὰ εἰς τὸν Παντελεήμονα· ὅθεν οὔτε τὸ
πῦρ τὸν ἔκαυσεν, οὔτε ἡ θάλασσα τὸν ἔπνιξεν, οὔτε τὸ βάρος τῆς γῆς
ἐβάρυνεν, οὔτε ἀγριότης τῶν θηρίων, οὔτε λεόντων ὀδόντες κατέφαγον,
ἀλλὰ πάντα τὰ στοιχεῖα, κρύπτοντα τὴν φυσικήν τους ἐνεργότητα, ὡς
βασιλέα προσεκύνησαν, ὡς παντοδυνάμῳ ὑπετάγησαν, ὡς στρατιώτην
καὶ φίλον πιστὸν Χριστοῦ τοῦ Θεοῦ ἐτίμησαν· λοιπὸν νὰ φανῶμεν ἡμεῖς
ἀναισθητότεροι καὶ ἀπὸ αὐτὰ τὰ ἄψυχα καὶ ἀναίσθητα στοιχεῖα; νὰ φανῶ-
μεν ἀγριώτεροι τῶν θηρίων; νὰ μὴ τιμήσωμεν ἐκεῖνον, ὃν ἐτίμησαν οἱ
δράκοντες, καὶ μάλιστα ὅπου αὐτὸς ἐτίμησεν, ἐδόξασεν, ἐπλάτυνεν, ἐσ-
τερέωσε τὴν ὀρθόδοξον πίστιν; τοῦτο ποῖος νόμος τὸ συγχωρεῖ; ποία λο-
γικὴ ψυχὴ τὸ παραδέχεται; οὐδεμία ἐλπίζω, οὐδὲ ἀπὸ τοὺς ὀρθοδόξους
οὐδένας. λοιπὸν ἄς τὸν τιμήσωμεν, ἀγκαλὰ καὶ τῶν ἀγαθῶν ἡμῶν οὐ
χρείαν ἔχει· ἄς τοῦ δοξάσωμεν τὴν ἡμέραν τῆς πανηγύρεως, καὶ μόλον
ὅπου αὐτὸς πανηγυρίζει, χαίρεται, δοξάζεται ἀνάμεσα εἰς τοὺς χοροὺς
τῶν πρωτοτόκων· ἀλλὰ διὰ νὰ παραστήσωμεν καὶ μὲ τὸ ἔργον, ὅτι εἴ-
μεθα συγγενεῖς τῶν Μαρτύρων, πιστεύομεν εἰς τὴν ἁγίαν Τριάδα, καθὼς
καὶ ἐκεῖνοι· πιστεύομεν πῶς πρεσβεύουσιν ὑπὲρ ἡμῶν οἱ Μάρτυρες· ἄς
τοὺς τιμήσωμεν ὄχι σήμερον μόνον καὶ τὴν ἐρχομένην ἑορτὴν, ἀλλὰ καὶ
αὔριον καὶ πάντοτε καθὼς παραγγέλλει τὸ χρυσοῦν στόμα τοῦ Ἰωάννου
« οὐχ ἐν τῇ περιόδῳ τῶν ἡμερῶν μόνον αἱ τῶν μαρτύρων ἑορταὶ, ἀλλ'
ἐν τῇ γνώμῃ τῶν ἐπιτελούντων κρίνονται »· ὥστε ἂν μιμηθῇς τὰ ἔργα
τοῦ Μάρτυρος, τὴν ὑπομονὴν, τὴν καρτερίαν, ἐτίμησες τὸν Μάρτυ-
ρα. « τιμὴ Μάρτυρος, μίμησις Μάρτυρος, λέγει ὁ διδάσκαλος, (τομ.
ς. εἰς τοὺς Μάρτυρας) »· καὶ βεβαιοῖ τὸν λόγον του ἐκ τοῦ ἐναντίου,
« ὥσπερ οἱ τὰ φαῦλα πράττοντες καὶ ἐν ἑορταῖς ἀνέορτοι εἰσί (δὲν ἔχου-
σιν ἑορτήν ποτε οἱ ἁμαρτωλοὶ), τὸν ἴδιον τρόπον οἱ ἐνάρετοι, καὶ πανηγύ-
ρεως οὐκ οὔσης, ἑορτὴν ἐπιτελοῦσι »· διότι εἰς τὴν καθαρὰν καρδίαν
φαίνεται ἡ ἑορτὴ, καὶ ὄχι εἰς τὰ ἐξωτερικὰ σχήματα· τοῦτος εἶναι ὁ
τρόπος τῆς ἀληθινῆς τιμῆς τῶν Μαρτύρων.

Τοῦτο σημεῖον ἑορτῆς, ἡ μίμησις τῆς ὑπομονῆς τοῦ Μάρτυρος. Εὑρί-
σκεται καὶ τώρα Μαξιμιανός· ἀκόμη τὰ εἴδωλα τῶν παθῶν παντελῶς δὲν
ἐσυντρίφθησαν· ἀκόμη τὸ πένταθλον, εἰς τὸ ὁποῖον ἠνδραγάθησεν ὁ Παντο-
λεήμων, μένει· ἀόρατος ὁ τύραννος, διὰ τοῦτο φοβερώτερος, ζητεῖ ἀπὸ τοὺς
χριστιανοὺς σημεῖα ἐκείνης τῆς παλαιᾶς εἰδωλολατρείας τῶν Ἑλλήνων·
διὰ τοῦτο τοὺς παρακινεῖ εἰς φαγοπότια, εἰς χοροὺς, μέθαις, ἀσέλγειαις,



καὶ ἄλλα μύρια, διὰ τὰ ὁποῖα μαρτυρεῖ ὁ Θεολόγος (λόγῳ δ'), ὅτι εἶναι
ἑλληνικά. « Μηδὲ συναυλίαις καὶ κρότοις ἀσχημονείτωσαν· οὗτος γὰρ
Ἑλληνικῆς ἱερομηνίας ὁ νόμος ». Ἄλλος Μαξιμιανὸς ὁ Κόσμος, ἀναγκά-
ζει καὶ αὐτὸς τοὺς πανηγυριστὰς νὰ βλέπουν ὄχι εἰς τὸν νόμον τοῦ
Χριστοῦ, νὰ προσέχουν ὄχι εἰς ἐκεῖνα ὅπου ζητεῖ ἡ ἡμέρα τῶν Μαρτύρων,
ἀλλὰ εἰς τὴν συνήθειαν τὴν ἰδικήν του· ὁ νόμος τοῦ Χριστοῦ προστάζει
νὰ ἑορτάζωμεν « μὴ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ ἐν ἀζύμοις εἰλι-
κρινείας καὶ ἀληθείας » (Α' Κορινθ: Ε'. 8)· ἡ συνήθεια τοῦ Κό-
σμου θέλει τὴν ἡμέραν τῆς ἑορτῆς νὰ μὴ καθαρίσῃ ὁ ἄνθρωπος τὴν
ψυχήν του, ἀλλὰ τὰ ἐνδύματα· νὰ μὴ θρέψῃ τὴν ψυχὴν μὲ εὐποιΐας
πενήτων, ἀλλὰ τὸ σῶμα· νὰ μὴ νικήσῃ τὰ πάθη, ἀλλὰ τὰ πάθη τὴν ψυ-
χήν· νὰ μὴ εὐχαριστήσῃ τὸν Θεὸν μὲ ἀγρυπνίαις, μὲ προσευχαῖς, μὲ ἐλεη-
μοσύναις, ἀλλὰ τὸν διάβολον μὲ τὰς ὀρέξεις τοῦ σώματός του, μὲ τὰ θελή-
ματα τοῦ μεγάλου ἐχθροῦ τῆς σαρκός. Αὐτοὶ εἶναι οἱ Μαξιμιανοὶ, αὐτὰ
εἶναι ὅπου μᾶς προστάζουν εἰς τὴν ἡμέραν τῆς ἑορτῆς, καὶ φαίνονται πῶς
εἶναι μικρὰ τὰ προστάγματά τους καὶ ἀδύνατα· φαίνεται αὐτὸ τὸ πένταθ-
λον, ὅπου στένει εἰς τὴν ἑορτὴν ὁ Διάβολος, πῶς δὲν ἔχει δύναμιν,
διότι τοῦ λείπουν αἱ μάστιγες, αἱ φυλακαὶ, τὰ θηρία, οἱ λέοντες, οἱ
πνιγμοὶ, οἱ τροχοὶ, τὰ κοπτερὰ ξίφη, ὁ ἀναλελυμένος μόλυβδος, καὶ ὅσα
ἄλλα ἐδοκίμασεν ὁ Παντολέων, ἀλλὰ καὶ διὰ τοῦτο μυρίων κολάσεων
ἄξιοι οἱ πανηγυρίζοντες, ὅτι καὶ χωρὶς αὐτὰ τὰ μαρτύρια, χωρὶς αὐτὰ
τὰ φόβητρα, ὑπακούουσιν εἰς τὸν τύραννον ἄλλος μὲ ἄλλον τρόπον, καὶ
ἄλλος μὲ ἄλλον· πλὴν οἱ περισσότεροι, διὰ νὰ μὴν εἴπω ὅλοι, ὑπακούουσι,
καὶ ἀνίσως δὲν κλίνουσι γόνυ εἰς τὰ εἴδωλα, ἀλλ' εἰς τὰ πάθη τῶν εἰδώ-
λων βέβαια κλίνουσι· δὲν προσκυνοῦσι τὸ εἴδωλον τῆς Ἀφροδίτης, ἀλλ'
εἰς τὸ πάθος εὑρίσκονται· τοῦ Διονύσου τὸ εἴδωλον λείπει, ἀλλὰ τὰ ἔργα
μένουσι· παράξενος ὁ λόγος, ἀλλὰ τὰ ἔργα μαρτυροῦσι τὴν ἀλήθειαν·
ποῖον εἴχασιν ἐπιστάτην καὶ θεὸν οἱ εἰδωλολάτραι εἰς τοὺς χοροὺς καὶ
εἰς τὰ τύμπανα, εἰς τὰ τραγῴδια καὶ εἰς τὰ παλαίσματα παρὰ τὸν Διό-
νυσον; μὲ τέτοια ἔργα ἑώρταζον τὰ ἆθλά του, μὲ τοιαῦτα καὶ οἱ χρι-
στιανοὶ τοὺς ἰδικούς των Μάρτυρας· καὶ ποία ἀκοὴ τὸ παραδέχεται,
ὅτι χριστιανικῶς ἑορτάζομεν; τίς δὲν τὸ ὁμολογεῖ ὅτι Ἰουδαϊκῶς καὶ Ἑλ-
ληνικῶς πανηγυρίζομεν; καὶ τούτη εἶναι ἡ τιμὴ ὅπου ἦλθες νὰ δώσῃς
εἰς τὸν Μάρτυρα; αὐτὴ εἶναι ἡ εὐχαριστία τῶν πολλῶν καὶ μεγάλων εὐερ-
γεσιῶν, νὰ τοῦ τιμήσῃς τὴν ἑορτὴν μὲ μέθην; ἄνθρωπε, ἐλθὲ εἰς τὸν
ἑαυτόν σου, μάθε ἀπὸ τοὺς μεγαλητέρους σου πῶς τιμῶνται οἱ μάρτυρες,
πῶς γίνονται αἱ ἑορταί· « ἐλευθερωθῶμεν παντὸς μολυσμοῦ σαρκὸς καὶ
πνεύματος » σοῦ παραγγέλλει ὁ γρήγορος νοῦς· (λόγῳ δ')· νιψώμεθα
καὶ παραστήσωμεν καὶ ἡμεῖς τὰ σώματα καὶ τὰς ψυχὰς θυσίαν ζῶσαν,

ἁγίαν, εὐάρεστον τῷ Θεῷ· νικήσωμεν διὰ ἐκείνους ὅπου ἐνίκησαν· ἂς μαρτυρήσωμεν τῇ ἀληθείᾳ διὰ τοὺς μάρτυρας· τοῦτο ἄς χαρίσωμεν καὶ εἰς αὐτοὺς, τὸ νὰ γενῶμεν καὶ ἡμεῖς νικηταὶ, ν' ἀντισταθῶμεν εἰς τοὺς ἀφανεῖς ἐχθροὺς καὶ τυράννους, καὶ μάλιστα εἰς τὸν ἐσωτερικὸν πόλεμον· ὑπέμεινεν ὁ Παντελεήμων τὰ θηρία, νίκησον καὶ σὺ τὸν θυμόν· ἐκεῖνος τὸ ξίφος, ἐσὺ τὴν γλῶσσαν· ἐκεῖνος τὸ πῦρ, σὺ τὴν ἡδονήν· δὲν ἐφοβήθη ἐκεῖνος οὐδὲν ἀπὸ ὅσα τοῦ ἐπρόβαλεν ὁ τύραννος, καὶ σὺ μὴ προσκυνήσῃς τὴν εἰκόνα τὴν χρυσῆν, μηδὲ διὰ χρείαν κλίνῃς γόνυ τῇ Βάαλ· ἓν φοβηθῶμεν μόνον, « τὸ φοβηθῆναί τι Θεοῦ πλέον, καὶ καθυβρίσαι τὴν εἰκόνα διὰ κακίας » (ἐκ τοῦ Θεολ)· κατὰ τοῦτον τὸν τρόπον ἀνίσως πανηγυρίζωμεν, ἡ ἑορτὴ ἔγινεν κατὰ Χριστὸν, ἐτιμήσαμεν τὸν Μάρτυρα· εἰ δὲ, διὰ νὰ ξεφαντώσωμεν πρόσκαιρα, ἢ διὰ νὰ κάμωμεν χάριν εἰς τὰς ὀρέξεις τοῦ σώματος, οὔτε ὁ τόπος, οὔτε ὁ καιρὸς ἁρμόζουν· ὁ καιρὸς τῆς πανηγύρεωςδὲν εἶναι καιρὸς τρυφῆς, δὲν εἶναι ἡμέρα ἀναπαύσεως, διότι δὲν φέρει εἰς τὴν μνήμην τρυφὰς καὶ ξεφαντώματα, ἀλλὰ μάλιστα πείνας, δίψας, σφαγὰς, πνιγμοὺς καυσίματα, καὶ ἄλλα φρικτὰ καὶ τρομερὰ ἀνδραγαθήματα, καὶ τί ἁρμόζουν ταῦτα μὲ ἐκεῖνα; εἶναι δυνατὸν νὰ βλέπῃ τινὰς τὸν ἀδελφόν του μέσα εἰς τὸ πῦρ νὰ καίεται, καὶ ἐκεῖνος νὰ χορεύῃ; ἐκείνου τὸ αἷμα νὰ χύνεται, τὰ κρέατα νὰ κόπτωνται, καὶ ἐσὺ νὰ τραγωδῇς; καὶ μάλιστα ὅλα ἐκεῖνα ὅπου ὑπομένει ὁ ἀδελφός σου, νὰ ἦναι διὰ κέρδος, διὰ τιμὴν, διὰ ἐλευθερίαν ἰδικήν σου; οὐδὲ ὁ τόπος δὲν ἁρμόζει μὲ αὐτὰ ὅπου τολμοῦσιν οἱ τωρινοὶ πανηγυρισταί· ὁ τόπος εἶναι τόπος προσευχῆς, τόπος κατανύξεως, ὄχι τόπος χαρᾶς· λιμὴν τῆς ψυχῆς, καὶ ὄχι ναυάγιον· τόπος ἐμπορίας πνευματικῆς, ὄχι τόπος πραγματείας σαρκικῆς. Βλέπεις πῶς οὐδὲ ὁ τόπος, οὐδὲ ἡ ἡμέρα, οὐδὲ ὁ νόμος τοῦ Θεοῦ, οὐδὲ τὸ πάλαισμα τῶν Μαρτύρων συμφωνοῦσι μὲ ταῖς ἑορταῖς ὅπου ἑορτάζομεν ἡμεῖς; ὅλα ἀνάρμοστα, καὶ ἀνάξια τῆς ἑορτῆς· ὅθεν φωνάζει ὁ γρήγορος νοῦς· «οὐ ταῦτα παρ' ἡμῶν αἰτοῦσιν οἱ Μάρτυρες».

Λοιπὸν ἂς μὴν ἑορτάζωμεν τὰ ἅγια μὲ τὰ ἀκάθαρτα, « μὴ τὰ ὑψηλά ταπεινῶς, μὴ ἀτίμως τὰ τίμια, μὴ χοϊκῶς τὰ τοῦ Πνεύματος »· πανηγυρίζει καὶ ὁ Ἰουδαῖος, ἀλλὰ κατὰ τὸ γράμμα· ἑορτάζει καὶ ὁ Ἕλλην, ἀλλ' ὡς ἀρέσκει τοῖς δαίμοσιν· ἀλλ' ἡμεῖς καθὼς ὅλα μας εἶναι ἅγια, καὶ τὰ ἔργα, καὶ οἱ λόγοι, καὶ τὰ περιπατήματα, καὶ τὰ ἐνδύματα, τέτοιας λογῆς καὶ τὰ πανηγύρια, καὶ αὐτὰ πνευματικὰ νὰ γίνωνται, καὶ ὄχι σαρκικά· διὰ τοῦτο μὲ ὕμνους, μὲ δοξολογίας, μὲ ἀναγνώσεις προφητικῶν λόγων, εὐαγγελικῶν διδαχῶν· Λοιπὸν, ὅσοι μαθηταὶ τοῦ Χριστοῦ γνήσιοι, ἂς ζήσωμεν κατὰ Χριστόν. Ὅσοι τέκνα φωτὸς, τὰ τοῦ φωτὸς ἂς ζητήσωμεν. Ὅσοι φιλομάρτυρες, τοὺς Μάρτυρας ἂς τιμήσωμεν. Ὅσοι ἀπὸ τὰ ἅγια ἐκεῖνα αἵματα, τὰ μαρτυρικὰ καταγόμεθα, ἂς τιμήσωμεν τῶν προγόνων τὴν πανήγυριν· ἂς δοξάσωμεν τῶν προπατόρων μας τὰ παλαίσματα· ἂς φανῶμεν συγγενεῖς ἐκείνων καὶ ἀπόγονοι, ὄχι μόνον κατὰ τὴν γενεαλογίαν, ἀλλὰ καὶ κατὰ τὰ ἔργα, κατὰ τὴν ὑπομονὴν εἰς τοὺς πειρασμοὺς, κατὰ τὴν ἀνδρείαν εἰς τοὺς πνευματικοὺς πολέμους, κατὰ τὴν θερμὴν ἀγάπην πρὸς τὸν ἀγαπήσαντα ἡμᾶς Θεὸν, κατὰ τὸ ἄσπονδον μῖσος πρὸς τὸν διάβολον. Ἀνέστησαν, ἐναντιώθησαν πρὸς τὴν ἁμαρτίαν οἱ προγονοί μας μέχρις αἵματος; καὶ ἡμεῖς· κατετρόπωσαν ἐκεῖνοι τυράννους; καὶ ἡμεῖς τὰ πάθη· κατεφρόνησαν ἐκεῖνοι καὶ νεότητος ἄνθος, καὶ πλούτη, καὶ τιμάς; καὶ ἡμεῖς. Καὶ πρὸς τί τέλος; διὰ νὰ ἀξιωθῶμεν τῆς μερίδος ἐκείνων, διὰ νὰ μᾶς δεχθοῦν εἰς τὰς αἰωνίους μονὰς, διὰ νὰ μὴ σταθοῦν χωρὶς τὰ τέκνα καὶ χωρὶς τὰ παιδία εἰς τὴν ἡμέραν τῆς Ἀναστάσεως· ἀλλ' ὅλοι ὁμοῦ νὰ εὑρεθῶμεν εἰς τὴν χαρὰν τοῦ Κυρίου· ὅλοι ν' ἀξιωθῶμεν τοῦ φωτὸς ἐκείνου, τῆς λαμπρότητος, τῆς ἀκτίστου καὶ ἀνεσπέρου, τῆς μακαρίας καὶ ζωαρχικῆς Τριάδος, τὴν ὁποίαν καὶ πιστεύομεν, καὶ λατρεύομεν, καὶ ὁμολογοῦμεν καρδίᾳ καὶ στόματι καὶ ψυχῇ ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων· τῇ πρεσβείᾳ τοῦ ἁγίου μεγαλομάρτυρος Παντελεήμονος· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων! Ἀμήν.



Σημείωσις. ἐν τῷ κατὰ τὸ ἁγιώνυμον Ὄρος ἱερῷ Κοινοβίῳ τοῦ Ῥωσσικοῦ εὑρίσκεται καὶ ἡ τιμία Κάρα τοῦ ἁγίου Παντελεήμονος.

ΤΕΛΟΣ.